# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΒΑΡΒΑΡΑΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ 4 ΔΕΚΕΜΒΡΙΟΥ

Συντεθεῖσα μὲν παρὰ Ἰακώβου τοῦ μοναχοῦ ἐν τῇ κοινοβιακῇ Μονῇ Ἁγίου Παύλου τοῦ Ἄθωνος ἐν ἔτει 1847.

Τυπωθεῖσα δὲ δαπάνῃ μὲν τῶν φιλοχρίστων συνδρομητῶν, φροντίδι δὲ καὶ ἐπιμελείᾳ

**ΠΑΝΟΥ Δ. ΣΥΚΙΩΤΟΥ**

Ἐν ἔτει 1894.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Petit
Pag. 29 No

ΕΝ ΠΑΤΡΑΙΣ

ΕΚΔΟΤΙΚΟΝ ΚΑΤΑΣΤΗΜΑ «Ο ΚΑΔΜΟΣ.»

ΕΠΙ ΤΗΣ ΑΡΚΤΙΚΗΣ ΓΩΝΙΑΣ ΤΗΣ ΠΛΑΤΕΙΑΣ ΓΕΩΡΓΙΟΥ Α'.

| | |
|---|---|
| **Β. ΣΕΚΟΠΟΥΛΟΣ** | **ΑΝΔΡΕΑΣ Β. ΠΑΣΧΑΣ** |
| ΙΔΡΥΣΑΤΟ | ΔΙΕΔΕΞΑΤΟ |
| 1869. | 1882. |

1894

# ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

*Σύρραμα τόδε τῆς λαμπρᾶς γέγραπτ' ἀκολουθίας*
*'Εν τῇ Μονῇ τοῦ Ἄθωνος τῇ τοῦ 'Αγίου Παύλου,*
*Παρ' 'Ιακώβου μοναχοῦ τοῦ Κοινοβίου τούτου*
*Τυγχάνοντος θεοσεβοῦς καὶ εὐπαιδεύτου μέλους,*
*Τῇ παροτρύνσει συνδρομῇ ὁμοῦ τε καὶ δαπάνῃ*
*Σὺν ἐπιμόνῳ τε σπουδῇ καὶ ὁλοψύχῳ θέρμῃ,*
*Θύτου ὁσίου κ' εὐλαβοῦς τοῦ Γερασίμου Συκιώτη*
*Γόνου 'Ιθάκης τῆς μιᾶς τῶν 'Ιονίων νήσων,*
*'Εν ἔτει τῷ χιλιοστῷ ὀκτακοσιοστῷ τε*
*Καὶ τεσσαράκοντα ἑπτὰ μηνὶ δὲ ἐνδεκάτῳ,*
*Τῆς τοῦ Κυρίου καὶ Θεοῦ, σεπτῆς θεογονίας.*
*'Αφιεροῦται δ' εὐλαβῶς παρὰ τοῦ πανοσίου*
*Μετὰ τὴν συρραφὴν αὐτοῦ τῷ ἱερῷ Τεμένει*
*Τῆς πανευφήμου κ' εὐκλεοῦς Βαρβάρας τῆς ἁγίας,*
*Κειμένῳ ἐν τῷ εὐκραεῖ τῆς πολιᾶς 'Ιθάκης*
*Χωρίῳ ὅπερ τοῦ Σταυροῦ ἐπωνυμίαν φέρει,*
*Πρὸς μνήμην τὴν ἀΐδιον αὐτοῦ καὶ συγγραφέως*
*Μετὰ γονέων, ἀδελφῶν καὶ συγγενῶν ἁπάντων.*

## ΔΕΚΕΜΒΡΙΩ· Δ΄.

### ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΒΑΡΒΑΡΑΣ

ΕΣΠΕΡΑΣ ΕΝ ΤΩ ΜΙΚΡΩ· ΕΣΠΕΡΙΝΩ·

**Ψάλλομεν προσόμοια δ. ἦχος ά.**

**Τῶν οὐρανίων ταγμάτων.**

Πολυειδέσι βασάνοις ἐγκαρτερήσασα, νικητικὰ βραβεῖα, ἐκομίσω Βαρβάρα, ἀθλουσῶν ὡραιότης· ὅθεν καὶ νῦν, τὴν σεβάσμιον μνήμην σου, ἐπιτελοῦμεν δεόμενοι ἐκτενῶς, τοῦ πρεσβεύειν ὑπὲρ πάντων ἡμῶν.

Τῆς ἀθληφόρου Βαρβάρας τὴν μνήμην ἄνθεσι κοσμήσωμεν· αὐτὴ γὰρ, ἀπ' ἀρχῆς νυμφευθεῖσα, Χριστῷ τῷ ἀθανάτῳ παμβασιλεῖ, πρὸς Πατρὸς ὠμοτάτου ποινὰς, καρτερικῶς ὑπομείνασα καὶ σφαγὴν, Βασιλείαν ἐκληρώσατο.

Ἐν οὐρανίοις θαλάμοις, Βαρβάρα πάνσεμνε, χοροβατοῦσα λόγῳ, τῷ Δεσπότῃ τῶν ὅλων, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν ἔνδοξον, ἐν τῷ ναῷ σου νῦν μνήμην περιχαρῶς, ἐκ κινδύνων περισώζεσθαι.

Ἡ τῶν φρονίμων Παρθένων χορεία, πάνσεμνε, λελαμπρυσμένην αἴγλῃ, καλλοναῖς ταῖς τῶν ἄθλων, Βαρβάρα ὑπεδέχθη καὶ σὺν αὐταῖς, εἰσελήλυθας χαίρουσα, εἰς τὸν νυμφῶνα τὸν θεῖον ἔνθα Χριστὸς, ὁ νυμφίος σου πανένδοξε.

**Δόξα ἦχος β΄.**

Μαρτύρων τὴν εὔκλειαν ποθήσασα, καλλιμάρτυς Χριστοῦ Βαρβάρα πανεύφημε, γενναίως ἐχώρησας Πατρὸς τὰ σκάμματα τῆς ἀθλήσεως· καὶ μέχρι τέλους ὑπομείνασα, τὸν ἀμαράντινον ἀπείληφας στέφανον, ἐκ χειρὸς τοῦ Κυρίου σου· ὃν ἀπαύστως πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν Θεοτοκίον.**
**Τὴν πᾶσαν ἐλπίδα μου.**
**Εἰς τὸν στίχον προσόμοια ἦχος β΄.**
**οἶκος τοῦ Εὐφραθᾶ.**

Ὢ θαύματος καινοῦ, ὢ ξένου μυστηρίου, τῆς Εὔας ἡ θυγάτηρ, τὸν δράκοντα τὸν μέγαν, Βαρβάρα ὄντως ὤλεσε.

**Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.**

Τέτρωται ὁ ἐχθρὸς, ὡς ἐν διστόμῳ ξίφει, τῆς μάρτυρος Βαρβάρας, τῇ τοῦ Χριστοῦ δυνάμει, καὶ πέπτωκεν ὁ δόλιος.

**Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.**

Οὐ ξίφος οὐδὲ πῦρ, οὐδὲ βάσανος ἄλλη, τῆς τοῦ Χριστοῦ ἀγάπης, Βαρβάραν τὴν Ἁγίαν, χωρίσαι ὅλως ἴσχυσεν.

**Δόξα, ὅμοιον.**

Ὕψιστε Βασιλεῦ, υἱὲ Θεοῦ παντάναξ, τὰ σὰ ἐλέη δίδου ἡμῖν τοῖς ἐκτελοῦσι, μνήμην Βαρβάρας δούλης σου.

**Καὶ νῦν, Θεοτοκίον ὅμοιον.**

Ἔργον θεοπρεπὲς, Παρθένος μετὰ τόκον, ὁ τόκος Θεὸς λόγος, ὁ δοξάσας ἀξίως, Βαρβάραν τὴν πανένδοξον.

**Ἀπολυτίκιον ἦχος πλ. ά.**
**Τὸν συνάναρχον λόγον.**

Τὴν ἁγίαν Βαρβάραν ἀνευφημήσωμεν, ἐν χαρμοσύνοις ἐπαίνοις ἐγκωμιάζοντες, χαῖρε λέγοντες αὐτῇ κλέος τερπνότατον, τῶν ἀθλουσῶν πανευκλεὲς, χαῖρε ἁγνείας τιμαλφὲς, ὡραΐσμα καὶ λαμπρότης, χαῖρε ἀμνὰς τοῦ Κυρίου σφαγιασθεῖσα δι᾽ αὐτὸν πάνσεμνε.



**Θεοτοκίον, ὁ αὐτὸς.**

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος.

**Καὶ γίνεται ἀπόλυσις.**

---

ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

**Τὸ μακάριος ἀνήρ.**
**Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄.καὶ ψάλλομεν προσόμοια τῆς ἁγίας δ΄. εἰς ἦχον ά, καὶ δ΄. εἰς ἦχον β΄.**
**ἦχος πρῶτος.**
**Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, ἡ νεᾶνις Χριστοῦ, πῶς ἐν γῇ ἐβίωσεν· ὡς ἄγγελος οὐρανοῦ, τὸν μόνον Κύριον, δόξασα εὐσεβῶς, ἐπιποθοῦσα δὲ θείας ἐλλάμψεως, ὑπέφερε τὰ δεινὰ, καὶ τὴν σφαγὴν, ἡ Βαρβάρα ἡ πάνσεμνος· ὅθεν ἀνεκφράστου δόξης, νῦν ἀπολαμβάνουσα, χαίρει μετὰ τῶν παρθένων, εἰς οὐράνια σκηνώματα.

Δεῦτε οἱ πιστοὶ τὴν εὔσημον, ἑορτὴν τῆς θείας Βαρβάρας τιμήσωμεν, ἐν ὕμνοις τε καὶ ᾠδαῖς, ἣν ἀνεδέξατο, ἡ ἄληκτος χαρμονὴ, ὡς παῤῥησίᾳ τὴν πίστιν κηρύξασαν, καὶ μέλη καὶ κεφαλὴν, ἀποτμηθεῖσαν ἀγάπῃ τοῦ κτίσαντος· τὴν νικοποιὸν ἐν ἄθλοις, στήλην τῆς ἀθλήσεως· ἧς τῇ θείᾳ πρεσβείᾳ, τῶν δεινῶν ἀπαλλαττόμεθα.

Ἐν τῇ καρτερᾷ ἀθλήσει σου, πάνσεμνε Βαρβάρα, τυράννους κατήσχυνας, πατέρα τε τὸν ὠμὸν, ἐχθρὸν τῆς φύσεως, καὶ ἔφερες ἀνδρικῶς, τὰ τῶν βασάνων ἐπίπονα σκάμματα, ἐνίσχυε γὰρ Χριστὸς, σὲ ἐναθλοῦσαν, καὶ ῥῶσιν παρέσχετο, ὁ ταχὺς παρθενομάρτυς, πάντων εἰς βοήθειαν, καὶ παρέχων τῷ κόσμῳ ταῖς εὐχαῖς σου μέγα ἔλεος.

### Ἕτερα προσόμοια τῆς ἁγίας. ἦχος β'.
### Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐν σταδίῳ τῷ φρικτῷ, Ἰουλιανὴ διεσκόπει ἡ παμμακάριστος, μάρτυρα τὴν ἔνδοξον Βαρβάραν, μάστιξιν, ἐναθλοῦσαν βασάνοις τε, ποικίλοις τὸ σῶμα ἅπαν συγκοπτόμενον, θερμοῖς τοῖς δάκρυσι, λόγε τοῦ θεοῦ ἀνεβόα· Ταύτης κοινωνόν με γενέσθαι, ἄρτι καταξίωσον φιλάνθρωπε.

Μίαν ἡ Βαρβάρα ἀληθῶς, Ἰουλιανή τε τὴν γνώμην, πρὸς τὴν εὐσέβειαν, ἔχουσαι αἱ Ἅγιαι κατηγωνίσαντο, τοῦ ἐχθροῦ· καὶ νικήσασαι, αὐτὸν κατὰ κράτος, δόξης ἠξιώθησαν, παρὰ Χριστοῦ τοῦ θεοῦ· ὅθεν λοιμικῶν παθημάτων, λώβην ἀφανίζουσαι πᾶσι, τοῖς πιστοῖς παρέχουσιν ἴαματα.

Ὅτε ἀπεφάνθη κατὰ σοῦ, μάρτυς σεμνοτάτη Βαρβάρα, ὁ γλυκὺς θάνατος, χαίρουσα καὶ σπεύδουσα, τὸν δρόμον ἤνυσας· ἀσεβοῦς δὲ γεννήτορας, χερσὶ παρανόμοις, τέθυσαι καὶ κάρπωμα, Θεῷ προσήνεξαι· ὅθεν, ταῖς φρονίμοις παρθένοις, ὄντως συγχορεύουσα βλέπεις, Χριστοῦ τοῦ νυμφίου σου τὴν ἔλλαμψιν.

### Δόξα ἦχος ά.

Ἐν τῇ καρτερᾷ ἀθλήσει, τῆς παρθενοάθλου Βαρβάρας, ἀγγέλων ηὐφράνθη ἡ πληθύς, δαιμόνων δὲ ᾐσχύνθησαν φάλαγγες, καὶ πιστῶν τὰ στίφη ἠγαλλιάσαντο, καὶ ἀσεβῶν παρατάξεις ἐτράπησαν· ὁ γὰρ Χριστὸς ἀοράτως παρίστατο, ἐνισχύων αὐτοῦ τὴν μάρτυρα, καὶ ψευδωνύμων θεῶν σέβας ἐσβέννυτο· ὁ μὲν εὐσεβῶς καὶ πιστῶς δοξαζόμενος, οἱ δὲ ὡς καπνὸς καὶ σκιὰ διαλυόμενοι· ἀλλ' ὦ μάρτυς πανένδοξε Βαρβάρα καλλιπάρθενε, τοὺς ταύτην τὴν ἐτήσιόν σου μνήμην, ἐν τῷ πανσέπτῳ σου ναῷ τελοῦντας, ἀπήμονας φύλαττε ἐκ παντοίων νόσων καὶ κακώσεων, καὶ τῆς μελλούσης κολάσεως αἴτησαι, λυτρωθῆναι τοὺς τιμῶντάς σε, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



### Καὶ νῦν. προεόρτιον, ὁ αὐτός.

Προεορτάσωμεν· λαοὶ Χριστοῦ τὰ γενέθλια, καὶ ἐπάραντες τὸν νοῦν, ἐπὶ τὴν Βηθλεὲμ, ἀναχθῶμεν τῇ διανοίᾳ· καὶ κατίδωμεν τὴν Παρθένον, τοῖς ψυχικοῖς λογισμοῖς. Ἐπειγομένην τίκτειν ἐν σπηλαίῳ, τὸν τῶν ὅλων Κύριον, καὶ Θεὸν ἡμῶν· ὃν Ἰωσὴφ κατιδὼν, τῶν θαυμάτων τὸ μέγεθος, ἐδόκει ἄνθρωπον θεωρεῖν, ὡς βρέφος σπαργανούμενον, ὑπενόει δὲ ἐκ τῶν πραγμάτων, θεὸν εἶναι ἀληθινὸν, τὸν παρέχοντα, ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

### Εἴσοδος, τὸ φῶς ἱλαρόν.
### Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.
### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγὼ εἰμὶ, ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔστε. Ἐγὼ εἰμὶ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἐμοὶ Θεὸς, ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες,

μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν· καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη μὴ κακία ἀλλάξει σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν λιτὴν ἰδιόμελα ἦχος α΄.

Ἀξίως, ὢ θεοτίμητε Βαρβάρα πολύαθλε, πᾶσα τῶν πιστῶν ἡ ὁμήγυρις τιμᾷ σου, τὴν σεβάσμιον ἄθλησιν, καὶ προσκυνεῖ σου τὴν ἱερὰν τῶν λειψάνων θήκην, ἰαμάτων πηγὰς τοῖς προσιοῦσι βλύζουσαν· τὸν γὰρ ὁλοφέρνην τύρανον, ὡς Ἰουδὶθ τῇ δυνάμει τοῦ σταυροῦ ἀνδρείως κατέβαλες· ὅθεν συνελθόντες τιμῶμεν τὴν μνήμην σου, ἐν τῷ πανσέπτῳ ναῷ σου σήμερον, ἵνα ἐκ τῆς ἁγίας εἰκόνος σου ἀπαντλήσωμεν ἀφθόνως, τῶν νοσημάτων τὴν ἴασιν· αἰτούμενοι συγχώρησιν παρὰ Χριστοῦ τοῦ Θεοῦ ταῖς εὐχαῖς σου λαβεῖν, καὶ τὸ μέγα ἔλεος.



## Ἦχος ὁ αὐτὸς.

Τῆς γεηρᾶς τρυφῆς τὴν ἀπόλαυσιν ὑπεριδοῦσα, καὶ τοῦ Πατρὸς τὸν ὄλβον ὁμοῦ τε καὶ δόξαν μισήσασα, τὸν οὐράνιον νυμφίον ἐπεπόθησας, Βαρβάρα παναοίδιμε· τῷ ξίφει δὲ τὴν κάραν τιμηθεῖσα, σὺν ταῖς φρονίμοις συνεισῆλθες παρθένοις τῷ νυμφίῳ Χριστῷ· ὅθεν καὶ τὴν λοιμικὴν νόσον, ἐκδιώκουσα, τοὺς πιστοὺς θεραπεύεις ἐνεργείᾳ τοῦ πνεύματος, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος β΄.

Ἠσχύνθη ὁ βάσκανος ἐχθρὸς, ὑπὸ γυναικὸς ἡττώμενος· ὅτι τὴν προμήτορα ἔσχεν, ὄργανον πρὸς ἁμαρτίαν· ὁ γὰρ ἐκ παρθένου σαρκωθεὶς λόγος τοῦ Πατρὸς, ἀτρέπτως καὶ ἀφύρτως, ὡς οἶδε μόνος αὐτὸς, τὴν κατάραν ἔλυσε τῆς Εὔας καὶ τοῦ Ἀδάμ, Χριστὸς ὁ στεφανώσας ἀξίως, Βαρβάραν τὴν μάρτυρα, καὶ δι᾽ αὐτῆς δωρούμενος τῷ κόσμῳ, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

## Ὁ αὐτὸς.

Ἡ θεόκλητος μάρτυς Βαρβάρα, ἐν τῷ σταδίῳ πάσχουσα ἔλεγε· δεινὰ μὲν τὰ παρόντα κολαστήρια, ὦ δικαστά· οὐ προκρίνω δὲ ὅλως, τῶν οὐρανίων τὰ ἐπίγεια· διὰ τοῦτο τέμνετε, ξέετε τὰς σάρκας, πυρὶ παραδῶτέ μου. Χαίρουσα ἀπίω, πρὸς τὸν νυμφίον μου Χριστόν. Ἧς ταῖς ἱκεσίαις, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτῆς ἐκτελοῦντας πιστῶς.

## Ἦχος δ΄.

Τὴν πανήγυριν σήμερον, τῆς ἀθληφόρου Βαρβάρας, δεῦτε λαοὶ ὑμνήσωμεν· ταύτης γὰρ οὔτε ξίφος, οὔτε πῦρ, οὔτε ἄλλη βάσανος, οὔτε τοῦ πολυπλόκου Βελίαρ τὰ ἔνεδρα ἐτροπώσαντο· Χριστὸν ἱκέτευε καλλιμάρτυς πολύαθλε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

### Δόξα, ἦχος πλ. ά.

Τῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι, ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, ὡς ἀμώμητον νύμφην ἑαυτῷ σε ἡρμώσατο· ἐν γὰρ τῷ θελήματι αὐτοῦ παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ' ἐχθρῶν τε καὶ παθῶν, ἀήττητον ἔδειξεν, ἐγκαρτερήσασαν αἰκίαις πικραῖς, καὶ βασάνοις δριμυτάταις· διπλῷ στέφει, δισσῶς σε κατέστεψε, καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ, ὡς Βασίλισσαν πεποικιλμένην. Αὐτὸν δυσώπησον παρθενομάρτυς Βαρβάρα πανεύφημε, τοῖς ὑμνηταῖς σου δοθῆναι σωτηρίαν, καὶ ζωὴν καὶ μέγα ἔλεος.

### Καὶ νῦν, Μακαρίζομέν σε Θεοτόκε Παρθένε. Εἰς τὸν στίχον προσόμοια ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Χάριν τῶν ἰάσεων, καὶ τῶν θαυμάτων ἐπλούτησας, ὦ Βαρβάρα πανένδοξε, παθῶν γὰρ νοσήματα, καὶ σαρκὸς τὸν ζόφον, καὶ τὰς τρικυμίας, ἀπετινάξω καὶ φαιδρὰν, τὴν τῆς ψυχῆς εἰργάσω κατάστασιν· ἐντεῦθεν καὶ ἐνήθλησας, ἀνδρειοφρόνως ἀοίδιμε, καὶ τὸν στέφανον εἴληφας, ἐκ Θεοῦ Παντοκράτορος.

### Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Θείαις ἐπιγνώσεσι, τὴν καθαράν σου διάνοιαν, καταυγάσας ὁ Κύριος, ἀγνοίας λυτροῦταί σε, πατρὸς ἀθείας, ἥλιος ὑπάρχων, δικαιοσύνης ἀληθοῦς, Βαρβάρα μάρτυς ἀξιοθαύμαστε. Ἐντεῦθεν τὰ σεβάσματα, τῆς πονηρίας συνέτριψας, καὶ Χριστοῦ τὰ παθήματα, καρτερῶς ἐξεικόνισας.

### Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Πόνους καρτερήσασα, καὶ τὴν σφαγὴν πρὸς τὴν ἄπονον, μεταβέβηκας χαίρουσα, ἀπόλαυσιν ἔνδοξε, ἔνθα γενομένη, καθωραϊσμένη, οἷάπερ νύμφη ἐκλεκτὴ, Χριστοῦ Βαρβάρα ἀξιοθαύμαστε· τῶν πίστει τὸ μνημόσυνον, ἐν τῷ ναῷ σου τελούντων νῦν, ἀθληφόρε μνημόνευε, καὶ κινδύνων περίσωζε.



### Δόξα. ἦχος δ΄.

Σταυρὸν ὡς ὅπλον κραταιὸν χερσὶ κατέχουσα, Βαρβάρα πανένδοξε, τὴν πίστιν ὡς θώρακα, ἐλπίδα θυρεὸν, ἀγάπην τόξον, τῶν τυράννων τὰς τιμωρίας ἐνίκησας ἀνδρείως· καὶ δαιμόνων τὰς παρατάξεις κατήργησας ἐνθέως· τὴν κεφαλὴν δὲ τμηθεῖσα, χερσὶ πατρὸς ἀσεβοῦς, εἰς οὐρανοὺς στεφανηφόρος ἀνέδραμες, σὺν παρθένων χορείαις λαμπαδηφόρος χορεύουσα ἐν Χριστῷ· πρεσβεύουσα ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων, τὴν χαρμόσυνον πανήγυριν.

### Καὶ νῦν, ὁ αὐτὸς, προεόρτιον.

Ἡσαΐα χόρευε, λόγον Θεοῦ ὑπόδεξαι, προφήτευσον τῇ κόρῃ Μαριὰμ, βάτον καταφλέγεσθαι, καὶ πῦρ μὴ καίεσθαι τῇ αἴγλῃ τῆς θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδὲμ, καὶ μάγοι πορεύεσθε ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον· ὃν ἀστὴρ ἐμήνυσεν ἐπάνω τοῦ σπηλαίου· ζωοδότην Κύριον, τὸν σώζοντα τὰς ψυχὰς ἡμῶν.

### Ἀπολυτίκιον ἦχος πλ΄. ά. Τὸν συνάναρχον λόγον.

Τὴν ἁγίαν Βαρβάραν ἀνευφημήσωμεν, ἐν χαρμοσύνοις ἐπαίνοις πανηγυρίζοντες. Χαῖρε λέγοντες αὐτῇ, κλέος τερπνότατον, τῶν ἀθλουσῶν πανευκλεὲς, χαῖρε ἁγνείας τιμαλφὲς, ὡραΐσμα καὶ λαμπρότης· χαῖρε ἀμνὰς τοῦ Κυρίου, σφαγιασθεῖσα δι' αὐτὸν πάνσεμνε.

### Ἕτερον, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἁγνείας λαμπρότησι, κρῖνον ὡς εὔοσμον, ἐξήνθησας πάνσεμνε ἐξ ἀκανθῶν σου πατρὸς, Βαρβάρα πολύαθλε, ὀδμαῖς μαρτυρίου σου, πάντας εὐωδιάζων, νόσου δὲ τῆς λοιμώδους, ἀπελαύνουσα· βλάβλην διό σου τὴν πανσέβαστον μνήμην γεραίρομεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗ

**Δόξα. ἕτερον, ἦχος δ΄.**

Βαρβάραν τὴν ἁγίαν τιμήσωμεν· ἐχθροῦ γὰρ τὰς παγίδας συνέτριψε, καὶ ὡς στρουθίον ἐρρύσθη ἐξ αὐτῶν, βοηθείᾳ καὶ ὅπλῳ τοῦ Σταυροῦ ἡ πάνσεμνος.

**Καὶ νῦν, Θεοτοκίον. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Εἰς τὸν ὄρθρον, μετὰ τὴν ά. στιχολογίαν, καθίσματα ἦχος γ΄. Τὴν ὡραιότητα.**

Ἡ περιδέξιος καὶ καλλιπάρθενος νύμφη ἡ ἄσπιλος, καὶ πανακήρατος, Βαρβάρα σήμερον ἡμᾶς, ἀμνὰς Χριστοῦ ἡ ἄμωμος, ἅπαντας συνήθροισε, φιλεόρτους ἐν πνεύματι, μέλψαι τὴν χαρμόσυνον, ἑορτὴν αὐτῆς ᾄσμασι· συνδράμωμεν οὖν πίστει γεραίροντες, τὰ ἆθλα τῶν ἀγώνων αὐτῆς.

**Δόξα, θείας πίστεως.**

Πόθῳ πάνσοφε, Χριστοῦ τρωθεῖσα, καί τῷ ἔρωτι αὐτοῦ θελχθεῖσα, τερπνὰ τοῦ κόσμου σαρκός τε τοὺς ἔρωτας, ἀπεβδελύξω φθορᾶς ὡς παραίτια, καὶ ταῖς βασάνοις σαυτὴν ὅλην δέδωκας, ὅθεν εἴληφας, καὶ στέφος διπλοῦν ἀμάραντον, ἁγνείας τε σοφὴ καὶ τῆς ἀθλήσεως.

**Καὶ νῦν, Θεοτοκίον. Τὴν ὡραιότητα τῆς παρθενίας σου. Μετὰ τὴν β΄. στιχολογίαν. Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγησαν τῆς σῆς, ψυχῆς ἀνδρείας τὸ στερρὸν, καὶ Ἀγγέλων καὶ βροτῶν, καὶ τῶν δαιμόνων, ὦ σεμνὴ, αἱ στρατιαί τε καὶ γένη, μάρτυς Βαρβάρα· πῶς σῶμα ἁπαλὸν περιφέρουσα, ἀσάρκους δυσμενεῖς παντεπάλαισας, καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε· Χριστὸν δυσώπει, ὑπὲρ τῶν πίστει ἐκτελούντων τὴν μνήμην σου.

**Δόξα. ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς ὡραΐσασα, ταῖς ἀρεταῖς διέλαμψας Βαρβάρα ἀληθῶς· ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, τὸ στέφος τῆς ἀθλήσεως, παρ' αὐτοῦ δεξαμένη, ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας Βαρβάρα τὴν μνήμην σου.



**Καὶ νῦν. Θεοτοκίον, οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε.**

**Μετὰ τὸν πολυέλεον. Τὸν τάφον σου Σωτήρ.**

Ἡ νύμφη τοῦ Χριστοῦ, τετρωμένη τῷ πόθῳ, Βαρβάρα τοῦ αὐτῆς, οὐρανίου νυμφίου, ὀπίσω τούτου ἔδραμε, τὴν λαμπάδα κατέχουσα, τὴν δι' ἔλαιον, τῶν ἀρετῶν ἀνημμένην, ταύτης ἅπαντας, ῥῦσαι πρεσβείαις κινδύνων, σωτὴρ ὡς φιλάνθρωπος.

**Δόξα, ὅμοιον.**

Ἡ νῆσος ἡ λαμπρὰ, τῆς Ἰθάκης εὐφραίνου, πλουτοῦσα τὸν ναὸν, τῆς πανσόφου Βαρβάρας, λαμπρῶς ἑορτάζουσα τὴν αὐτῆς νῦν πανήγυριν, συγκαλοῦσά τε, ἅπασαν πόλιν καὶ χώραν ἣν γεραίροντες, δοξολογοῦμεν ἐνθέως, Χριστὸν τὸν παντάνακτα.

**Καὶ νῦν, Θεοτοκίον.**

Πανάχραντε ἁγνὴ, Θεοτόκε Παρθένε, ἡ μόνη κραταιὰ τῶν πιστῶν προστασία, ἡ γάλακτι θρέψασα, σαρκωθέντα τὸν Κύριον. Ἐκδυσώπησον, πάντας ἡμᾶς οἰκτειρῆσαι, τοὺς τιμῶντάς σε, ὡς Θεοτόκον κυρίως, πανύμνητε δέσποινα.

**Οἱ ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ δ΄. ἤχου· Προκείμενον.**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Στίχος. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον.**

**Εὐαγγέλιον, κατὰ Ματθαῖον.**

**Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην, ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις. ὁ Ν΄. Δόξα. ταῖς τῆς ἀθληφόρου· καὶ νῦν· ταῖς τῆς**

**Θεοτόκου ἐλέησόν με ὁ Θεός. ἦχος β΄.**

Πατρίδα γένος ὕπαρξιν, καταλιποῦσα Βαρβάρα, καὶ τὸν ἀσεβῆ πατέρα μισήσασα, Χριστὸν ἠγάπησας, ᾧ ἐνυμφεύθης, καὶ γέγονας μεγαλέμπορος· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Οἱ κανόνες τῆς Θεοτόκου, καὶ τῆς ἁγίας δύω εἰς ή. ὁ πρῶτος ἦχος β΄. ᾠδὴ ά. ἐν βυθῷ κατέστρωσε ποτέ.**

Ὢ τριὰς ὑπέρθεε σεπτή, ἡ τῶν ὑπὲρ ἔννοιαν, τὴν δωρεὰν σοῖς ἱκέταις βραβεύουσα, φωτοφόρον ἔμπνευσον, τῇ ζοφώδει μου, διανοίᾳ ἀμάρυγμα, τὴν σὴν εὐφημῆσαι, μάρτυρα Βαρβάραν τὴν ἀοίδιμον.

Ἐγκωμίων ἅπαντα θεσμὸν, ὄντως ὑπερβέβληκε, τῶν σῶν μαρτύρων ἡ δόξα φιλάνθρωπε· ἀλλὰ τὸ ἐκ πίστεως, κατὰ δύναμιν, δεδεγμένος ἐφύμνιον, ἀντικαταπέμποις, Δέσποτα πλουσίως τὴν ἀντίδοσιν.

Ἀκανθώδους ρίζης ἐκφυὲν, ρόδον ἱερώτατον, τὴν Ἐκκλησίαν Χριστοῦ εὐωδίασεν, ἡ τῷ ἐρυθήματι, τῆς ἀθλήσεως, φοινιχθεῖσα δι᾽αἵματος,ἔνδοξος Βαρβάρα,ἥν περ ἐπαξίως μακαρίζομεν.

**Θεοτοκίον.**

Ἰσωθῆναι πόθον μοι ἐνθεὶς, ὄφις ὁ παμπόνηρος, τῷ πλαστουργῷ ὡς αἰχμάλωτον ἥρπασε· διὰ σοῦ δὲ πάναγνε, ἀνακέκλημαι, θεωθεὶς ἀληθέστατα· σὺ γὰρ Θεομῆτορ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

**Ἕτερος κανὼν τῆς Ἁγίας.**
**Πρὸς τὸ, Χριστὸς γεννᾶται, οὗ ἡ ἀκροστιχίς.**
**Πόθῳ ἄγει νῦν σοὶ Ἰάκωβος τόδε.**
**Ὠδὴ ά. Ἦχος ά. Χριστὸς γεννᾶται.**

Πιστῶς τιμῶμεν ἐν ᾄσμασι, Βαρβάραν σε πιστῶν ὡς ἀντίληψιν, πόθῳ ἐκτελοῦντες ἄριστα, μνήμην σου τὴν ἁγίαν θεο-



πρεπῶς, κράζοντες ἁγία, ταῖς λιταῖς σου πρὸς Θεὸν ἡμᾶς οἰκτείρησον.

Ὁ πάντων πλάστης καὶ Κύριος, τὸ κάλλος τῆς ψυχῆς σου θεώμενος, Βαρβάρα λαμπρῶς ἐδόξασε δόξαν οὐρανίαν καὶ ἀληθῆ, μάρτυρα ὡς οὖσαν, διό πάντες εὐσεβῶς σὲ μακαρίζομεν.

Θελήσει λαμπροτάτῃ σου πάνσεμνε, κατέπτυσας πατρός σου ἀσέβειαν, πλοῦτόν τε καὶ δόξαν πάνσεμνε, Βαρβάρα τὰ οὐράνια συνετῶς, μόνα σὺ ποθοῦσα, καὶ Χριστὸν τὸν ποιητὴν δι᾽ ὃν ἐνήθλησας.

**Θεοτοκίον.**

Ὡς μόνη ἄγαν ὑπέρφωτος, Θεοῦ ἐκ δεξιῶν μόνη ἔστηκας, ὥσπερ ὁ Δαβὶδ προείρηκε, Πανύμνητε Παρθένε ὑπερφυῶς, ὅθεν σὲ ὑμνοῦμεν Παναγία ἀγαθή, Θεοχαρίτωτε.

**Καταβασία, Χριστὸς γεννᾶται.**
**Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.**

Τετρωμένη τοῦ πόθου σου, ὡς νυμφίου Δέσποτα, τῷ γλυκυτάτῳ βέλει, ἡ ἀθληφόρος Βαρβάρα ἅπασαν, πατρικὴν ἄθεΐαν ἐβδελύξατο.

Οὐ τρυφῆς ἡ τερπνότης, οὐκ ἄνθος κάλλος πλοῦτός τε, οὐχ ἡδοναὶ νεότητος ἔθελξάν σε Βαρβάρα ἔνδοξε, τῷ Χριστῷ νυμφευθεῖσα καλλιπάρθενε.

Πρὸς τελείους ἀγῶνας, οὐδὲν ἐδείχθη κώλυμα, τὸ ἀσθενὲς τοῦ θήλεως, οὐ τὸ νέον τῆς ἡλικίας Χριστέ, ἀκηράτῳ σου σθένει δυναμούμενον.

**Θεοτοκίον.**

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διό σε Θεοτόκον πίστει σέβομεν.

### Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Ἄγει σοι Βαρβάρα, ὑμνῳδίας ᾠδάς τε καὶ ᾄσματα, πιστῶν χορεία τῆς Ἰθάκης, προσκυνοῦσα τὸν κτίστην, ὡς μόνον Θεὸν παντάνακτα, σὲ ἀνυψώσαντα γῆθεν πρὸς οὐρανόν, εἰς ἀΐδιον ἀπόλαυσιν.

Ἄγγελοι τιμῶσι, σοῦ Βαρβάρα ἀγῶνας καὶ ἔπαθλα, βροτοὶ τιμῶσι τὸν Σωτῆρα ὡς Θεὸν τῶν ἁπάντων, λαμπρῶς σε σεμνὴ δοξάσαντα· διὸ τελοῦντες τὴν σὴν ἑορτήν, τὸν Χριστὸν δοξάζομεν.

Γένος τῶν ἀνθρώπων, εὐφημεῖ τοὺς ἀγῶνάς σου πάνσεμνε, ὅτι καθεῖλες τὸν Βελίαρ, ἀνδρικῶς ἐναθλοῦσα, Βαρβάρα καὶ στέφος εἴληφας, ὑπὲρ ἡμῶν τὸν Χριστὸν ἐκτενῶς μάρτυς καθικέτευε.

### Θεοτοκίον.

Ἔχεις Παναγία κυριότητα πάντων ὡς πέλουσα, μήτηρ τοῦ πάντων Βασιλέως, ὃν δυσώπει ἀπαύστως, σῶσαι πάντας τοὺς ὑμνοῦντάς σε, καὶ ἀπαλλάξαι φθορᾶς καὶ παθῶν, καὶ γεέννης ἅπαντας.

### Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

### Κάθισμα, ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Τὸν ὡραῖον ἐν κάλλει ὑπὲρ υἱούς, τῶν ἀνθρώπων ποθοῦσα μάρτυς Χριστοῦ, Πατέρα ἐμίσησας, δυσσεβῆ πλοῦτον δόξαν τε καὶ θεοὺς τῶν Ἑλλήνων, ὡς κόνιν ἐλέπτυνας, ἔργα χειρῶν ἀνθρώπων, ὡς ὄντας πανένδοξε· ὅθεν καὶ βασάνους, τῶν ἀνόμων ἀνδρείως, σεμνὴ ὑπομείνασα, νίκης στέφανον εἴληφας. Βαρβάρα πανθαύμαστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.



### Δόξα. Ἕτερον. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀθλήσει σου, πάντας ἐξέπληξας, ὅτι ὑπέμεινας, τὰς τῶν τυράννων πληγάς, δεσμά, βασάνους, φυλακάς, Βαρβάρα παναοίδιμε, ὅθεν καὶ τὸν στέφανον, ὁ Χριστός σοι δεδώρηται, ὅνπερ ἐπεπόθησας ψυχικῶς καὶ προσέδραμες, αὐτὸς καὶ τὰς ἰάσεις παρέχει, πᾶσι τοῖς πίστει προσιοῦσί σοι.

### Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον, ὁ γὰρ σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκί, ἐκ τῆς Παρθένου δι' ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται· μάγοι μετὰ δώρων δέ, ὡς Βασιλεῖ προσκυνήσουσι, ποιμένες μετ' ἀγγέλων τε, δοξολογοῦσιν αὐτόν, μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν· δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

### Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἐκ Παρθένου γεννηθείς, ἐδωρήσω νεάνισι, Παρθένοις τὸ φρύαγμα, καταβαλεῖν τοῦ ἀλάστορος· ὅθεν ἡ καλλίνικος Βαρβάρα, τούτου τὸ θράσος κατεπάτησε.

Τῷ Σταυρῷ σου, τοῦ θανάτου τὴν δύναμιν ἔλυσας· ἐντεῦθεν τοῦ σώματος, κόρη Χριστοῦ ἀφειδήσασα, φέρει γενναιότατα, τοὺς αἰκισμοὺς ἡ Βαρβάρα στεῤῥοτάτῃ φρενί.

Ἡ προμήτωρ, μηχαναῖς τοῦ δολίου θελχθεῖσα τὸ πρίν, τρυφῆς ἐξωστράκισται, τοῦ παραδείσου· Βαρβάρα δέ, τοῦτον ἐκφαυλίσασα, ἐν οὐρανίῳ νυμφῶνι νῦν αὐλίζεται.

### Θεοτοκίον.

Σὲ λιμένα σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.



ΓΕΝΝ...ΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ...

**Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.**

Ἵνα σε Βαρβάρα εὐσεβῶς, ὑμνοῦντες μακαρίζομεν, τῶν ἀθλουσῶν τὸ ἐγκαλώπισμα, ἱκέτευε τὸν Χριστὸν, ἐκτενῶς ἀείμνηστε, ῥῦσαι τοὺς πιστῶς σε εὐφημοῦντας, ἐκ νόσου φθοροποιοῦ, καὶ τῶν ἀντιπάλων σκαιότητος.

Νόες οἱ οὐράνιοι, σεμνή, τιμῶσί σε ἀοίδιμε, Βαρβάρα μάρτυς ἀξιάγαστε. Ἱκέτευε τὸν Χριστὸν, ῥῦσαι τοὺς τιμῶντάς σε, πάντων δυσχερῶν καὶ ἐναντίων, δωρούμενον τοῖς πιστοῖς, ἔλεον καὶ χάριν οὐράνιον.

Ὕμνους καὶ ᾠδὰς πρὸς τὸν Θεὸν, ἀνέπεμπες ἀείμνηστε, ἐν ταῖς βασάνοις ὑπομένουσα· διὸ εἰς ἄνω μονὰς, ἤρθης καὶ σκηνώματα, Θεὸν προσκυνοῦσα ἀεννάως, ὃν ἐκδυσώπει ἀεὶ, ὑπὲρ τῶν πιστῶς εὐφημούντων σε.

**Θεοτοκίον.**

Ναὸς καὶ ἀνάκτορον Θεοῦ, γεγένησαι πανύμνητε. Θεὸν τεκοῦσα τὸν ἀθάνατον, τὸν πάντας ἁμαρτωλοὺς, ἐλεοῦντα χάριτι· ὃν ἀεὶ ὑμνοῦντες ὡς δεσπότην, τιμῶμέν σε ἀγαθή, ῥῦσαι τοὺς πιστοὺς τῆς κολάσεως.

**Καταβασία. Ῥάβδος τῆς ἐκ ῥίζης.**

**Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.**

Θυρίσι τρισὶ, τὸ λουτρὸν φωτίζεσθαι κελεύουσα, μυστικῶς διέγραψας, βάπτισμα Βαρβάρα, τῆς τριάδος φωτὶ, τῶν ψυχῶν σελασφόρον, ὑπάρχον καθαρτήριον.

Μανίαν δεινὴν, τοῦ πατρὸς ἐκκλίνουσαν Βαρβάραν σχισθὲν, εὐθὺς ὑπεδέξατο, ὄρος, ὥσπερ πάλαι τὴν ἀοίδιμον, πρωτομάρτυρα Θέκλαν, Χριστοῦ τερατουργήσαντος.



Τοῦ ὄντως Θεοῦ, πυρωθεῖσα ζήλῳ ψευδωνύμων Θεῶν, εἰς αἰσχρὰ ἀνέπτυσε, πρόσωπα Βαρβάρα ἡ πανεύφημος, καταπαίζουσα Κόρη, τοῦ δῆθεν κοσμοκράτορος.

**Θεοτοκίον.**

Δυσώπει τὸν σόν, υἱὸν καὶ Κύριον, Παρθένε ἁγνὴ αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

**Ἄλλος. Θεὸς ὢν εἰρήνης.**

Σὲ πάντες τιμῶμεν, Βαρβάρα σεμνή, ὡς Χριστὸν ὁλοψύχως ποθήσασαν, καὶ πάντα καταλείψασα τὰ τῇδε νουνεχῶς. Ὅθεν τῶν οὐρανίων, ἠξιώθης παστάδων, σὺν ταῖς παρθένοις χαίρουσα, εἰς τοὺς αἰῶνας πανσεβάσμιε.

Ὁ πάντων δεσπότης, Χριστὸς ὁ Θεὸς, οὐρανίων θαλάμων ἠξίωσε, τιμήσας σε ἀοίδιμε ὡς μάρτυρα αὐτοῦ· διὸ ἐν τοῖς ὑψίστοις, αὐτῷ παρισταμένη, ὑπὲρ πάντων πρέσβευε, τῶν σὲ τιμώντων καλλιπάρθενε.

Ἱκέτευε μάρτυς, Χριστὸν τὸν Θεὸν οἰκτειρῆσαι ἡμᾶς τοὺς τιμῶντάς σε· λίαν γὰρ ἁμαρτάνοντες οἱ ἄθλιοι ἡμεῖς, πτοούμεθα εἰκότως, τὴν ὀργὴν τὴν δικαίαν, ἐξ ἧς ἡμᾶς λύτρωσαι, Βαρβάρα μάρτυς, ταῖς πρεσβείαις σου.

**Θεοτοκίον.**

Ἰδόντες σου κόρη, Μαρία σεμνή, τὸ ὑπέρτατον ὕψος τῆς δόξης τῆς σῆς, ὑμνοῦντες προσκυνοῦμέν σε βοῶντες ἀγαθή, ἀπείρῳ σου ἐλέει, ῥῦσαι ἡμᾶς κινδύνων, τῆς γεέννης καὶ πάντων τῶν δυσχερῶν καὶ πάσης θλίψεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΟΡΗΣ ΠΑ...

**Καταβασία, Θεὸς ὢν εἰρήνης**

**Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.**

Ὡς ὑπέσχου σοφίαν δεδώρησαι, σῶτερ θεοδίδακτον, τοῖς σὲ κηρύττουσι, δικαστικοῦ πρὸ βήματος, ἧς Βαρβάρα ἡ μάρτυς ἐμπέπλησται.

Τῶν ἀθέων τὴν πλάνην διέλεγξε, λόγῳ θυσόφῳ, Βαρβάρα ἡ ἔνδοξος· ὑπομονῇ τῶν ἔργων δὲ, τῶν τυράννων τὰς φρένας ἐξέστησεν.

Αἰκισμοῖς ἀφειδῶς καταξαίνεσθαι, ῥάκεσι τριχίνοις εὐτόνως τε τρίβεσθαι, διὰ Χριστὸν ἡ ἄμεμπτος, ἀθληφόρος τὸ σῶμα προδίδωσιν.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

**Ἄλλος Σπλάγχνων Ἰωνᾶν.**

Ἅπαντες πιστοὶ, τιμῶμεν τὴν μνήμην σου, Βαρβάρα σεμνὴ μάρτυς πανθαύμαστε, πόθῳ κράζοντες, τοὺς τιμῶντάς σε νόσων ἀπάλλαξον, ταῖς πρεσβείαις σου, ἀθλουσῶν τὸ ἐγκαλλώπισμα, ἵνα εὐσεβῶς ἐν ᾄσμασι, τὴν σεπτήν σου τελῶμεν πανήγυριν.

Κλέος ἀθλουσῶν, Βαρβάρα πανεύφημε, νῦν ἐν οὐρανοῖς περιχορεύουσα, καθικέτευε, ὑπὲρ πάντων τῶν πίστει τιμώντων σε, τοῦ ῥυσθῆναι ἐκ κινδύνων καὶ κολάσεως, ἵνα πόθῳ ἐκτελῶμεν ᾄσμασι, τὴν λαμπρὰν καὶ σεπτήν σου πανήγυριν.

Ὅλης ἐκ ψυχῆς, Βαρβάρα γεραίρομεν, τὴν μνήμην σεμνὴ τῆς σῆς ἀθλήσεως, εὐφραινόμενοι, καὶ ὑμνοῦντες Χριστὸν τὸν ὑπέρθεον, δυσωποῦντες ἐλεῆμον ταῖς δεήσεσι, ταύτης τῶν δεινῶν ἀπάλλαξον, καὶ κολάσεως ῥῦσαι ἀθάνατε.



**Θεοτοκίον.**

Βλέψον εἰς ἡμᾶς Παρθένε πανύμνητε, καὶ ῥῦσαι δεινῶν καὶ περιστάσεων, ὡς ἰσχύουσα, οἷα μήτηρ Θεοῦ οὖσα δέσποινα, ἵνα πόθῳ πάντες μεγαλύνωμεν, καὶ τιμῶμεν τὴν σεπτὴν εἰκόνα σου, Θεοτόκε πιστῶν ἡ ἀντίληψις.

**Καταβασία. Σπλάγχνων Ἰωνᾶν.**
**Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα σεμνὴ ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔλιπες σεβάσματα· μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρον, μεγαλοφώνως μέλπουσα ἀεί. Τριάδα σέβω τὴν μίαν Θεότητα.

**Ὁ οἶκος.**

Τὴν νυμφευθεῖσαν τῷ Χριστῷ διὰ τοῦ μαρτυρίου, Βαρβάραν συνελθόντες τιμήσωμεν ἀξίως, ὅπως αὐτῆς ταῖς προσευχαῖς λύμης ψυχοφθόρου λυτρωθέντες, καὶ λοιμοῦ, σεισμοῦ τε καὶ καταπτώσεως, τὸν βίον ἐν εἰρήνῃ διέλθωμεν, καταξιωθέντες μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος εὐαρεστησάντων, διάγειν ἐν φωτί, καὶ μέλπειν ἀξίως. Ἐθαυμάστωσας Σῶτερ τὰ σὰ ἐλέη πᾶσι τοῖς πίστει ὁμολογοῦσι. Τριάδα σέβω τὴν μίαν Θεότητα.

**Συναξάριον.**
**Τῇ δ΄. τοῦ αὐτοῦ μηνός,**
**Ἄθλησις τῆς Ἁγίας μεγαλομάρτυρος Βαρβάρας.**
**Στίχοι.**
**Ξίφει πατὴρ θύσας σε μάρτυς Βαρβάρα, ὑπῆρξεν ἄλλος Ἀβραὰμ διαβόλου.**
**Βαρβάρα ἀμφὶ τετάρτῃ χερσὶ τοκέως ἐτμήθη.**

Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως, τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος, ἐν ὑψηλῷ πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη, διὰ τὴν ἐπανθοῦσαν αὐτῇ

σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα, καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν πατέρα. Γνοὺς γὰρ τὰ κατ' αὐτήν, ἐξ ὧν ἐκεῖνος μέν, ἐπὶ τῷ οἰκοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ, δύο θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς, καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα, Ἐπ' ὀνόματι, ἔφη, τοῦ Πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ταῦτα ἀκούσας ἐκεῖνος, εὐθὺς ὥρμησε τῷ ἰδίῳ ξίφει ἀνελεῖν αὐτήν. Ἐκφυγούσης δὲ αὐτῆς, καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης, ἐπεὶ καταδιώκων αὐτὴν ὁ πατὴρ εὗρε, τῶν τριχῶν ἁψάμενος αὐτῆς, παρέδωκεν αὐτὴν τῷ τῆς χώρας Ἡγεμόνι, οὗ κατ' ἐνώπιον ὁμολογήσασα τὸν Χριστὸν, καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς, τὰς σάρκας ξέεται, τὰς πλευρὰς κατακαίεται, καὶ σφαίραις κατὰ κεφαλῆς παίεται· εἶτα τὴν πόλιν γυμνὴ περιάγεται, καὶ τύπτεται, καὶ τὴν διὰ ξίφους δέχεται τελευτήν, αὐτοῦ τοῦ ἰδίου πατρὸς ταῖς οἰκείαις χερσὶν ἀνελόντος· ὃς καὶ λέγεται, μετὰ τὴν ταύτης σφαγὴν, ἐκ τοῦ ὄρους κατερχόμενος, κεραυνῷ βληθῆναι, καὶ τὴν ψυχὴν ἀπορρῆξαι.

**Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.**

Ὁ γῆν καταλήψεσθαι καὶ ἐξαλείψειν, τὴν θάλασσαν τύραννος, εἰκαίως φρυαττόμενος, ὡς παίγνιον πρόκειται, Βαρβάρας κόρης ποσί· τοῦτον ἐκνευρίσας γὰρ Χριστὸς, ὥσπερ στρουθίον σαθρὸν ἐδέσμευσεν.

Πληγαῖς ἀφορήτοις σου καταξανθέντος, τοῦ σώματος ὅλου τε, βαφέντος ἐν αἱμάτων ῥοαῖς, λαμπάσιν ὑπέμεινας, φλογιζομένη πλευρὰς, μάρτυς παναοίδιμε, Χριστῷ εὐχαριστοῦσα, Βαρβάρα ἔνδοξε.

Ὢ τῆς ἀπανθρώπου τε καὶ ἀναλγήτου, τυράννων ὠμότητος, καὶ πλείστης ἀθεότητος! μαστοὺς γὰρ τῆς μάρτυρος, ὡς ἐν μακέλλῳ δεινῶς, ξίφεσι κατέτεμνον, τὸν νοῦν προσερειδούσης, τῷ ζωοδότῃ Χριστῷ.

**Θεοτοκίον.**

Ἁγίων Ἁγίαν σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν



ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, μήτηρ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

**Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ.**

Ὁμήγυρις πᾶσα εὐσεβούντων, Βαρβάρα εὐφραίνεται σήμερον σκιρτῶσα, τιμῶσά σου τοὺς ἀγῶνας μετ' ἐκπλήξεως, καὶ πρὸς Θεὸν ἀνακράζει, εὐφροσύνως μέλπουσα, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Σήμερον Βαρβάρα σε ὑμνοῦμεν, τιμῶντές σου τοὺς ἀγῶνας ἀεισέβαστε, οὓς ἔτλης νεανικῶς ἀθλοῦσα πάνσεμνε, καὶ εὐσεβῶς βοῶμεν πρὸς Κύριον, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τοῦ κόσμου, Βαρβάρα, τὴν ἀπάτην, καὶ ὄλβον τὸν πατρικόν, καὶ πᾶσαν εὔκλειαν, ἐμίσησας διὰ Χριστὸν θαυμασιώτατα, ἀθλοῦσα δι' αὐτὸν πρὸς ὃν καὶ ἔκραζες, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον**

Οἰκετῶν σου τὰς δεήσεις Θεοτόκε, ἐπάκουσον ἀνυμνούντων σε, μητρόθεε, πάντας τῶν δεινῶν νῦν ἀπαλλάττουσα, βοῶντας μετὰ πόθου πρὸς τὸν Κύριον, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η'. Κάμινος ποτέ.**

Ὤφθη σοι Χριστός, φωτὶ ἐν ἀπροσίτῳ, ἐγκαθειργμένῃ ὦ Βαρβάρα, φρουρᾷ, θαῤῥεῖν προτρεπόμενος, καὶ τοὺς μώλωπας ἰώμενος, καὶ χαρμονὴν δωρούμενος· ὅθεν ἀνεπτερώθης, τοῦ σοῦ Νυμφίου τῷ ἔρωτι.

Ἄγγελος φαιδρὸς, στολὴν φωτοειδῆ σε, διὰ Χριστὸν γεγυμνωμένην, σεμνὴ Βαρβάρα ἠμφίεσε, καὶ ὡς νύμφην περιήγαγε· τὰ πάθη τῇ ἐσθῆτι γὰρ Μάρτυς συνεξεδύσω, θείαν ἐκστᾶσα ἀλλοίωσιν.

Δέδεικται σαφῶς, Χριστὲ ἡ πρόῤῥησίς σου, πεπληρωμένη·

Πατὴρ τέκνον γάρ, εἰς φόνον προδίδωσιν· αὐτουργός τε τῆς σφαγῆς γεγονώς, ὁ δείλαιος γεννήτωρ τῆς σῆς Μάρτυρος· οὐρανίῳ ὅθεν πυρὶ κατηνάλωται.

**Θεοτοκίον.**

Σὺ τὸν τοῦ πατρός, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε· ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

**Ἄλλος. Θαύματος ὑπερφυοῦς.**

Δόξαν τῷ Κυρίῳ ἐν σταδίῳ μάρτυς, ἐναθλοῦσα ἔπεμπες Βαρβάρα, δεομένη δοῦναί σοι, καρτερίαν ὑπομονήν, τελειῶσαι τὸ μαρτύριον καὶ σθένος σοι, οὐρανόθεν ὁ δεσπότης ἐδωρήσατο, εὐλογείτω βοῶσαν ἡ κτίσις τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἔσω ἐν τῷ πύργῳ κεκλεισμένη μάρτυς, Θεοὺς τοὺς πατρῴους συνετρίψω, βίον δὲ σὺ ἄριστα τὸν ἐπίπονον θαυμαστῶς, ἀπηρτίσω, ὦ Βαρβάρα, ἀνακράζουσα. Εὐλογείτω ἡ κτίσις πάντα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Θαύματος μεγίστου ὄντος πάλαι, ἡ σεπτή σου ἄθλησις Βαρβάρα, πόνους γὰρ ὑπέμεινας μάρτυς νεανικῶς, καταισχύνασα Βελίαρ τὸ ὑπέρογκον, διό σε πιστῶς ἀεὶ δοξάζομεν, ἐκτελοῦντες τὴν μνήμην σου ᾄσμασι, καὶ ὑπερυψοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ἄνασσα τῶν οὐρανῶν παντός τε κόσμου, σὺ ὑπάρχεις Θεοτόκε Μαρία, ὑπὲρ νοῦν κυήσασα, τὸν παντάνακτα ἀληθῆς. Θεοτόκος ἐχρημάτισας Θεόνυμφε· διό σε πιστῶς πάντες δοξάζομεν. Ἀνυμνοῦντές σε κόρη Θεόνυμφε, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.



**Καταβασία. Θαύματος ὑπερφυοῦς.**
**Ὠδὴ Θ Ἀνάρχου γεννήτορος.**

Τὴν ἔνδοξον μέλλουσα, κομίζεσθαι τελείωσιν, διὰ ξίφους Βαρβάρα τοῦ μαρτυρίου σου, σὺν Ἰουλιανῇ τῶν στεφάνων, μαρτυρικῶς, καταξιουμένη, φωνῆς θείας ἤκουσας, τελειούσης τὰς ἐντεύξεις σου.

Πληρῶν σου τὴν αἴτησιν, Βαρβάρα ἀθληφόρε Χριστός, τὰς ἰάσεις βραβεύει, τοῖς ἐκτελοῦσί σου, πίστει τὴν ἐτήσιον μνήμην, ὡς ἀληθῶς· θαλάσσης γὰρ ψάμμον, τὰ σὰ ὑπερβέβηκεν, εὐκλεῆ τερατουργήματα.

Τῷ σῷ συναφθεῖσα νῦν, παντάνακτι νυμφίῳ Χριστῷ, καὶ ἀστράπτουσα δόξῃ, Βαρβάρα θείου φωτός, ἐν ἐπουρανίοις θαλάμοις, τοὺς ὑμνητὰς τοὺς σοὺς ἐποπτεύεις, παθῶν ἀπαλλάττουσα, καὶ προσάγουσα τῷ ζῶντι Θεῷ.

**Θεοτοκίον.**

Ὡς πόκος Πανάμωμε, τὸν ὄμβρον τὸν οὐράνιον, ἐν γαστρὶ δεξαμένη, ἡμῖν ἐκύησας, τὸν τὴν ἀμβροσίαν διδόντα, τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν πανύμνητον, Θεοτόκον καταγγέλλουσι.

**Ἄλλος. Τύπον τῆς ἁγνῆς.**

Νῆσος τῆς Ἰθάκης πάνσεμνε, ἐτησίως τελεῖ σου τὴν ἄθλησιν. ἤδη τὸν ναόν, τὸν ἱερόν σου κατέχουσα, καὶ πιστῶς εὐφημεῖ σε κραυγάζουσα, Βαρβάρα ἀθληφόρε, λιταῖς σου πάντας περιφρούρησον.

Πόθῳ σοι βοῶ ἀοίδιμε, ἀθληφόρε ὁ νῦν σοι θεὶς τὰ ἐφύμνια. Θείαις σου λιταῖς, ἀπλακημάτων ἀπάλλαξον καὶ κολάσεως ῥῦσαί με τάχιστα, ἵνα πιστῶς ὑμνῶ σε, εἰς τοὺς αἰῶνας ἀξιάγαστε.

Τύπος ἀθλουσῶν ἀοίδιμε, τῇ σῇ πατρίδι γεγονυῖα ἀπέδειξας,

ἅπαντα πιστὸν ἰσχύειν ῥᾷον ἐργάσασθαι, ἐντολὰς τοῦ Κυρίου βουλόμενον, Βαρβάρα ἀθληφόρε, διό σε πόθῳ μακαρίζομεν.

**Θεοτοκίον.**

Πάντα οὐρανῶν στρατεύματα, δοξολογεῖ σε ὑπερύμνητε δέσποινα, σὺ γὰρ ἀγαθή, πάντας κατηύγασας χάριτι, ὡς τεκοῦσα Θεὸν τὸν παντάνακτα· διό σε ἱκετεύω, κἀμὲ οἰκτείρησον, ἐλέησον.

**Καταβασία. Μυστήριον ξένον.**
**Ἐξαποστειλάριον Ἐν πνεύματι τῷ ἱερῷ.**

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, Βαρβάρα Πανασίδιμε, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάσασα, τὸν ἐπὶ πάντων δεσπότην, ῥῦσαι πάντας κινδύνων, λοιμικῆς ἀσθενείας, καὶ ψυχικῶν νοσημάτων.

**Θεοτοκίον.**

Ἐκύησας πανάχραντε, τὸν Θεοῦ Θεὸν λόγον, τῷ κόσμῳ τὴν σωτήριον, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἀρίστην, διὰ τοῦτό σε πάντες, ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσβεύουσαν τοῦτον, λυτρωθῆναι, νῦν ἡμᾶς, κινδύνων καὶ πάσης νόσου.

**Εἰς τοὺς Αἴνους, τὸ πᾶσα πνοή, ἱστῶμεν στίχους δ'. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις ἡ τοῦ Κυρίου ἀμνάς, Βαρβάρα μάρτυς, ἀθλουσῶν ἐγκαλλώπισμα, ἁγνείας τερπνὸν ταμεῖον, καὶ παρθενίας λαμπρόν, καὶ φαιδρὸν δοχεῖον ἀξιάγαστε, ἡ κόσμον μισήσασα, καὶ Χριστὸν ἀγαπήσασα, καὶ ὑπὲρ τὰς βασάνους καὶ μάστιγας, ὑπομείνασα, στερρωτάτῳ φρονήματι. Ὅθεν τὴν πανασίδιμον, καὶ θείαν πανήγυριν, ἐπιτελοῦμέν σου πόθῳ, χαρμονικῶς ἑορτάζοντες. Χριστὸν οὖν δυσώπει, τοῦ δωρήσασθαι τῷ κόσμῳ τὸ μέγα ἔλεος

Δεῦτε τῶν χριστωνύμων πληθύς, νήσου Ἰθάκης, αἱ χορεῖαί τε ἅπασαι, παρθένων καὶ ἱερέων, ἐν τῇ σεπτῇ ἑορτῇ, τῆς Βαρβάρας Μάρτυς ἀθροίσθητε, φωναῖς χαρμοσύνοις, ἐν τῷ ναῷ αὐτῆς σήμερον, ἀνευφημοῦντες, τὴν ἀφόβως κηρύξασαν, τὴν εὐσέβειαν, καὶ εἰδώλων ἐλέγξασαν, πλάνην τὴν κακοδαίμονα, καὶ πάντας διδάξασαν, τοῦ προσκυνεῖν τὴν τριάδα, τὴν ἐξ οὐκ ὄντων τὰ σύμπαντα, ποιήσασαν, ἥνπερ δυσωπεῖ ὑπὲρ τῶν πίστει ἀνευφημούντων αὐτήν.



Χαίροις περιστερὰ ἐκλεκτή, κεχρυσωμένη, διανοίας ταῖς πτέρυξιν, τρυγών τε ὡραιοτάτη, καὶ χελιδὼν νοητή, κελαδοῦσα ἄλσει πεδιάδι τε, Χριστοῦ Ἐκκλησίας, καὶ τῶν πιστῶν καθηδύνουσα, τὰς διανοίας, ἀκοάς τε ἡ τέρπουσα, καὶ ὀσφραίνουσα, μυριπνόοις τῶν ἄθλων σου, ἄνθεσι καλλιπάρθενε, καὶ πάντας προτρέπουσα, τοῦ ἀνυμνεῖν τὴν τριάδα, τὴν σὲ Βαρβάρα δοξάσασαν, ἣν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Ἄνω σὺν τοῖς μαρτύρων χοροῖς, καὶ ἀθληφόρων, στεφηφόρος παρίστασαι, Βαρβάρα Χριστῷ τῷ λόγῳ, δοξολογοῦσα αὐτοῦ τὴν μεγαλοσύνην πανασίδιμε· ἡμῖν δὲ ἐφιστάσαι νοητῶς τοῖς σοῖς θαύμασι, ἐκλυτρουμένη, τῶν δεινῶν καὶ τῶν θλίψεων τῶν τιμώντων σου, τὴν ἁγίαν πανήγυριν, ἥνπερ νῦν ἑορτάζοντες, αἰτοῦμέν σε πάνσεμνε, ῥῦσαι παθῶν καὶ κινδύνων, νόσων δεινῶν τε καὶ θλίψεων, τοὺς πίστει καὶ πόθῳ, καὶ καρδίας κατανύξει ἀνευφημοῦντάς σε.

**Δόξα. Ἦχος πλ. α'.**

Σήμερον τοῦ ἐπουρανίου βασιλέως, ἡ ἀμίαντος νύμφη, συγκαλεῖται ἡμᾶς πρὸς ἑστίασιν πνευματικήν, Βαρβάρα ἡ πανένδοξος, δεῦτε οὖν φιλέορτοι εἰς ἓν συνέλθωμεν, καὶ τοῖς τῶν ᾀσμάτων τερπνοῖς μελῳδήμασιν, αὐτὴν ἀνευφημήσωμεν, ἐν φαιδραῖς στολαῖς ἁγνείας καὶ εὐποιΐας κατηγλαϊσμένοι. Αὕτη γὰρ τῷ τῆς παρθενίας κάλλει, ὡς ἁγνὴ περιστερὰ τῷ σωτῆρι νυμφευθεῖσα, ὁλικῶς τὴν ἁγίαν Τριάδα ἐν ἑαυτῇ εἰσῳκήσατο, ἣν καὶ ποθοῦσα, ὑπὲρ αὐτῆς τὸ αἷμα ἐξέχεε, καὶ νῦν ἐν ἐπου-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

ρανίοις σκηνώμασι, τὸ πνεῦμα αὐτῆς χοροβατοῦν, πρεσβεύει ὑπὲρ τῶν πίστει καὶ πόθῳ, ἐκτελούντων τὴν θείαν μνήμην αὐτῆς.

**Καὶ νῦν, ὁ αὐτός. Προεόρτιον.**

**Μ**ὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν, ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. Ταύτην ἀνυμνήσωμεν λέγοντες, χαῖρε κεχαριτωμένη, μετὰ σοῦ γὰρ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

**Δοξολογία Μεγάλη καὶ ἀπόλυσις.**
**Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ τοῦ κανόνος. ᾠδὴ γ'. καὶ στ'. Ἐὰν ᾖ ὁ Ναὸς τῆς ἁγίας τὰ παρόντα ἀντίφωνα. Ἀντίφωνον Α'. Ἦχος β'.**

Στιχ. α'. Ἐπί σοι Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στιχ. β'. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. γ'. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ οἶκον καταφυγήν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. δ'. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ συ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

**Ἀντίφωνον β'. Ἦχος β'.**

Στιχ. α'. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις.

Σῶσον ἡμᾶς υἱὲ Θεοῦ.

Στιχ. β'. Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφίαν.

Σῶσον ἡμᾶς υἱὲ Θεοῦ.



Στιχ. γ'. Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται.

Σῶσον ἡμᾶς υἱὲ Θεοῦ.

Στιχ. δ'. Κατὰ τὸ ὄνομά σου ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου.

Σῶσον ἡμᾶς υἱὲ Θεοῦ.

Δόξα, καὶ νῦν. Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ.

**Ἀντίφωνον Γ'. Ἦχος πλ. Α'.**

Στιχ. α'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Τὴν ἁγίαν Βαρβάραν ἀνευφημήσωμεν.

Στιχ. β'. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Τὴν ἁγίαν Βαρβάραν ἀνευφημήσωμεν.

Στιχ. γ'. Ἔστησαν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Τὴν ἁγίαν Βαρβάραν ἀνευφημήσωμεν.

**Ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον.**

**Κοινωνικόν.**

**Ε**ἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

**Ε**ἰ ὃς ἐνομίζετο σὸς Πατὴρ, σὲ χερσὶν ἀνεῖλεν, ὁ ἀντίθεος μιαραῖς, ὃν Πατέρα ἔσχες, ἀληθινὸν Χριστόν σου, ἔχεις καὶ νῦν ἐν πόλῳ, Βαρβάρα στέφοντα.

**Ἕτερον.**

**Δ**έσποτα Βαρβάρας σεπταῖς λιταῖς, τῆς σῆς ἀθληφόρου ἴασαί μου τοῦ ταπεινοῦ, τὰ πάθη καὶ ἄλγη, καὶ τὰς πολλὰς ὀδύνας, οἷς ἀναιδῶς ἑκών τε, ἀσώτως πέπληγμαι.

**Παράκλησις τῆς Ἁγίας εἰς πᾶσαν ἀνάγκην.**
**Τὸ Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.**
**Θεὸς Κύριος καὶ τροπάρια.**
**Ἦχος δ'. πρὸς τὸ Τῇ Θεοτόκῳ.**

Τῆς ἀθληφόρου τῷ τεμένει προσδράμωμεν, καὶ τῇ εἰκόνι τῆς αὐτῆς προσκυνήσωμεν, ἀπὸ βαθέων κράζοντες ψυχῆς πρὸς αὐτήν, Βαρβάρα πανένδοξε, ἀπὸ πάσης ἀνάγκης, λύτρωσαι τοὺς δούλους σου, καὶ ἐχθρῶν ἐπηρείας, καὶ τῆς λοιμώδους νόσου τῆς δεινῆς, ἵνα σε πόθῳ ἐν ὕμνοις γεραίρωμεν.

**Δόξα, τὸ αὐτό· καὶ νῦν, οὐ σιωπήσωμέν ποτε Θεοτόκε. Ὁ Ν'. καὶ ὁ Κανών. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.**

Βαρβάραν πάντες τὴν ἐν θείαις πράξεσιν, ἐκκαρθεῖσαν φαιδρῶς, καὶ γεγενημένην, σκεῦος ἱερώτατον, τοῦ Παναγίου Πνεύματος, εὐφημεῖν ὀφείλομεν, ὡς τὸν Βελίαρ νικήσασαν, καὶ Χριστὸν ἀνδρείως κηρύξασαν.

Ἀπὸ νεότητος σεμνὴ ἀπέρριψας, πᾶσαν τρυφὴν τῆς σαρκὸς, πλοῦτόν τε καὶ δόξαν, καὶ πατέρα δύσθεον, καὶ τὸν Χριστὸν ἐπόθησας, καὶ τὸ αἷμά σου μάρτυς, ὑπὲρ ἀγάπης ἐξέχεας, ὅθεν καὶ τὸν στέφανον εἴληφας.

**Δόξα.**

Ῥωμαλαιότητι φρενῶν κατέβαλες, τὸν παλαιὸν πτερνιστήν, οὐκ ἀνασχομένη ὠσὶ ψιθυρίσαι σου. Βαρβάρα πανaοίδιμε, ἀλλ' ὡς νύμφη ἐχέφρων, θανεῖν ἠγάπησας ἔνδοξε, καὶ στέφος ἀμάραντον ἔλαβες.

**Καὶ νῦν· Θεοτοκίον.**

Ἀγαθοδότως ὁ υἱός σου πάναγνε, εὐεργετήσας ἡμᾶς, πᾶσι τοῖς ἀνθρώποις, προστασίαν ἄμαχον, καὶ κραταιὰν βοήθειαν, σὲ παρέσχε· διό σοι προσπίπτοντες ἀνακράζομεν, σῶσον ἡμᾶς θείαις πρεσβείαις σου.



**Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.**

Ὑπεραθλήσασα στεῤῥῶς, Βαρβάρα Μεγαλομάρτυς, τὴν ζωὴν τὴν ἀκατάλυτον εὗρες, καὶ νῦν ζῇς ἐν οὐρανοῖς, μετὰ μαρτύρων ἔνδοξε, καὶ ἰαμάτων ῥεῖθρα, πᾶσι παρέχεις καλοῦσί σε.

Κατακοσμήσασα σαυτήν, τῇ ἀρετῶν ποικιλίᾳ, ὡραιότης ἀθληφόρε Βαρβάρα, καὶ ἠράσθη σου σεμνή, τοῦ κάλλους ὁ Δεσπότης σου, καὶ διὰ μαρτυρίου, τούτῳ ἡρμόσθης πανένδοξε.

**Δόξα.**

Ἐπαίνοις στέφεται πολλοῖς, ἡ Ἰαὴλ καθελοῦσα τὸν Σισάραν ἐν ξυλίνῳ πασσάλῳ, σὲ δὲ τίς παναληθῶς, Βαρβάρα ἐπαινέσειε, Σταυρῷ τῷ τοῦ Σωτῆρος, συντρίψασα τὸν ἀρχέκακον;

**Καὶ νῦν. Θεοτοκίον.**

Υἱὸν ἐγέννησας σαρκί, ὃν ὁ πατὴρ πρὸ αἰώνων, συνάναρχος ἐξ ἰδίας οὐσίας, ἀπεγέννησεν ἁγνή, ἀΰλως· διὸ πάντες σε, κυρίως Θεοτόκον, ὁμολογοῦντες σωζόμεθα.

Ῥ ίασωσον ἀπὸ κινδύνων τοὺς δούλους ἀθληφόρε· ὅτι σέ, ἐν πειρασμοῖς ἀεὶ προβαλλόμεθα, μεγίστην πρὸς τὸν Θεὸν καὶ Σωτῆρα.

Ἐπίβλεψον ἐν εὐμενείᾳ.

**Κάθισμα. Πρεσβεία θερμή.**

Πολλοῖς ἐν δεινοῖς, κυκλούμενοι οἱ δοῦλοί σου, πρὸς σὲ τὴν ἡμῶν προστάτιν καταφεύγομεν, ἀθληφόρε Βαρβάρα ἔνδοξε, δράμε πρόσπεσον Χριστῷ τῷ Θεῷ, καὶ ἵλεων αὐτὸν ἡμῖν ποίησον.

**Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.**

Ἡ Ἰουδὴθ, νηστείαις τε καὶ δεήσεσιν, ὁπλισθεῖσα, ἀνδρικῶς κατέβαλε, τὸν Ὀλοφέρνην δεινὸν ἐχθρὸν, σὺ δὲ ἀθληφόρε, βά-

σάνοις ἐγκαρτερήσασα, πολλαῖς ἀνδρειοφρόνως, κοσμοκράτορα σκότους, τῇ ἰσχύϊ Χριστοῦ ἐθανάτωσας.

Νοῦν ἀμιγῆ, τῶν χαρακτήρων φυλάττουσα, τῶν τοῦ κόσμου ὅλη ἐνητένιζες τῷ παντοκράτορι καὶ Θεῷ, ἐξ οὗ φωτισθεῖσα, τὴν τῆς Τριάδος ἐπίγνωσιν, ἀνέλαβες Βαρβάρα, καὶ Πατρὸς ἀθεΐαν, ἐβδελύξω καὶ ἤθλησας ἄριστα.

**Δόξα.**

Τίς τοὺς πολλούς, ἀγῶνας τῆς σῆς ἀθλήσεως, ἐξισχύσει, συγκεφαλαιώσασθαι, Βαρβάρα μάρτυς νύμφη Χριστοῦ, μαστῶν ἐκκοπήν τε, τοὺς ξεσμοὺς ῥαβδισμούς τε τῆς κάρας ἐκτομήν τε, καὶ πατρὸς ἀσπλαγχνίαν, οἷς ζωὴν ἐξωνήσω τὴν μέλλουσαν.

**Καὶ νῦν. Θεοτοκίον**

Ὅλη ἐν σοί, ἡνώθη ἡ ὑπεράρχιος, φύσις κόρη, ἐν μιᾷ τελείᾳ τε, τῇ ὑποστάσει τῇ ἑαυτῆς, λόγῳ τῷ ἀνάρχῳ, ὃν ἐν σαρκὶ ἀπεκύησας, ἐν δύω ταῖς οὐσίαις, τὸν αὐτὸν υἱὸν ἕνα, ἑνωθέντα σαρκὶ καθ' ὑπόστασιν.

**Ὠδὴ Ε'. Ἵνα τί με ἀπώσω.**

Ποία γλῶσσα βροτεία, σοῦ τὰς ἀνυποίστους βασάνους ἔνδοξε, ἐξειπεῖν ἰσχύσει, καὶ τὸν πρὸς τὸν κτίστην σου πόθον σοφή, οὗπερ παραδόξως, πόθῳ τρωθεῖσα ἀθληφόρε, τὰ ἐπίπονα ἤνεγκας σκάμματα.

Τὸν χειμάῤῥουν πιοῦσα, τῆς τρυφῆς πανένδοξε Βαρβάρα γέγονας, πηγῆς θεῖον ὕδωρ, ἐπιβλύζουσα τῆς τῶν ἰάσεων, ἐξ οὗ οἱ πιόντες, ἐν εὐφροσύνῃ εὐφημοῦσι, τοὺς ἀγῶνας καὶ ἆθλά σου πάνσεμνε.

**Δόξα.**

Βαρυτάτῳ φορτίῳ, τῶν ἀνομιῶν μου δεινῶς πιεζόμενος, τὴν σὴν εὐσπλαγχνίαν, ἱκετεύω ἐλάφρυνον Κύριε, τοὺς μεγίστους



πόνους, δυσωπηθεὶς σεμνῆς Βαρβάρας καὶ ψυχῆς σωτηρίαν μοι βράβευσιν.

**Καὶ νῦν.**

Ὑπὲρ πᾶσαν οὐσίαν, κτίσεως ὑπέρκεισαι Μαρία ἔνδοξε, σὺ γὰρ μόνη ὄντως, τὴν οὐσίαν τοῦ πλάστου σου δέδεξαι, ἐν γαστρὶ καὶ σάρκα ἐδάνεισας τῶν σῶν ἐξ αἱμάτων, καὶ υἱόν σου καλέσαι ἠξίωσας.

**Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.**

Ἐδόθη σοι τῶν θαυμάτων δύναμις, καὶ ἰάσεων Βαρβάρα ἡ χάρις, ὅτι πολλὰς τιμωρίας ὑπέστης· ὅθεν καὶ πάλιν καὶ νῦν ἐπετέλεσας, θαύματα πολλὰ σοφή, τοῖς καλοῦσι τὸ θεῖόν σου ὄνομα.

Παθῶν μου τὸν σκοτασμὸν ἀπέλασον, ἀθληφόρε καὶ τῶν νόσων ὁμίχλην, καὶ φωτισμόν, καὶ ὑγείαν παράσχου, καὶ εὐωδίας τῶν μύρων σου πλήρωσον, ὡς ἔχουσα πρὸς τὸν Θεόν, παῤῥησίαν πολλὴν παναοίδιμε.

**Δόξα.**

Εὐφραίνεται τῆς Ἰθάκης ἡ νῆσος, σὲ πλουτοῦσα πολιοῦχος Βαρβάρα, καὶ διὰ σοῦ λυτρουμένη κινδύνων χρεωστικῶς ἑορτάζει τὴν μνήμην σου, ἐδόξασέ σε γὰρ Χριστός, ὃν ἐδόξασας ἄθλοις σου ἔνδοξε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἰάτρευσον ἀνιάτως νοσοῦσαν, καὶ τῷ δείγματι δεινῶς πληγωθεῖσαν, τοῦ πονηροῦ τὴν καρδίαν μου κόρη, καὶ τῆς ἐν σοὶ θεραπείας ἀξίωσον, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ πεποιθότα πανάχραντε δέσποινα.

Διάσωσον ἡμᾶς Βαρβάρα σοὺς δούλους, ἱκεσίαις σου παντοί-

ας ἐκ βλάβης, καὶ λύτρωσαι λοιμικῆς ἀσθενείας τὴν νῆσον, καὶ πάσης ἐξ ἐχθρῶν ἐπηρείας.

Ἄχραντε ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον ἦχος δ'. Προστασία τῶν χριστιανῶν.**

Ἀθληφόρε Χριστοῦ, Βαρβάρα πανασίδιμε, ἀθλουσῶν καλλονή, παρθένων ἐγκαλλώπισμα, τῆς νήσου ἡμῶν ὡς προστατεύουσα θερμῶς, διαφύλαττε αὐτήν, ἀπὸ παντοίων συμφορῶν, παῤῥησίαν ὡς ἔχουσα. Σπεῦσον οὖν ἐν ἀνάγκαις, λύτρωσαι τῶν κινδύνων, τῶν συνεχόντων νῦν ἡμᾶς, ἵνα σε πόθῳ γεραίρομεν.

**Εἶτα, τὸ α'. ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ'. ἤχου. Προκείμενον.**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.**
**Στίχος. ὑπομένων ὑπέμεινα τὸν Κύριον.**
**Εὐαγγέλιον τῆς ἁγίας λέγε τοῦ ὄρθρου.**
**Δόξα, ταῖς τῆς ἀθληφόρου. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου. Στίχος, Ἐλέησόν με ὁ Θεός.**
**Προσόμοιον. Ὅλην ἀποθέμενοι.**

Ὄντως ὡς παρθένον σε, καὶ ἀθληφόρον Κυρίου, Βαρβάρα πανεύφημε, χρυσὸν καὶ ἀδάμαντα καὶ πᾶν τίμιον, κορυφὴν θείαν τε, αὐτουργὸν θαυμάτων, ἐλατῆρα τῶν δαιμόνων τε, καὶ πάσης θλίψεως, ἀξιοπρεπῶς εὐφημοῦμέν σε, ἡμεῖς πάντες οἱ δοῦλοί σου, τῇ σῇ ἀντιλήψει προστρέχοντες, καὶ παρακαλοῦντες, διάσωζε ἡμᾶς ἐκ πειρασμῶν καὶ τὸν Σωτῆρα ἱκέτευε, εὑρεῖν ἡμᾶς ἔλεος.

**Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων.**

Γνώμην φιλόθεον ἐκτήσω, καὶ ἐνήθλησας στεῤῥῶς σεμνὴ



Βαρβάρα, εὐλογοῦσα Θεόν, καὶ ψάλλουσα προθύμως, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὅλος ὁ πόθος σου Βαρβάρα, ἀνατέταται πρὸς μόνον τὸν Δεσπότην, ὁλοτρόπως αὐτόν, ὑμνοῦσα καὶ βοῶσα, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Δόξα.**

Δέδωκας σῶμά σου Βαρβάρα ταῖς κολάσεσιν, ἀνυποίστων βασάνων, δι' ἀγάπην Χριστοῦ, πρὸς ὃν βοᾷς ἀπαύστως εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Καὶ νῦν. Θεοτοκίον.**

Λύων τῆς Εὔας τὴν κατάραν τὴν πανάμωμον κατῴκησας παρθένον, εὐλογίαν πηγήν, βλυστάνων τοῖς βοῶσιν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.**

Συνεκράθης Κυρίου σου ἀγάπῃ, ἀθληφόρε, καὶ ἔδραμες ἀόκνως πρὸς μαρτυρίου τρίβον ἀνακράζουσα· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Παρθενίαν φυλάξασα ἀγῶνας, ὦ Βαρβάρα, σεμνὴ τοῦ μαρτυρίου, ἀνδρειοφρόνως ἔφερες πανένδοξε, ὅθεν ἐκδιώκεις, λώβην ψυχοφθόρον, ἡμῶν τῶν σὲ ὑμνούντων.

**Δόξα.**

Ἐκ παντοίων δεινῶν ἐπερχομένων, τοῦ δολίου, Βαρβάρα ἀθληφόρε, ἡμῶν τὴν νῆσον λύτρωσαι τὴν μέλπουσαν, πόθῳ καὶ τελοῦσαν, σοῦ τὴν θείαν μνήμην, εἰς πάντας τοὺς αἰῶνας.

**Καὶ νῦν. Θεοτοκίον.**

Οἱ μαστοί σου ὡς δίδυμοι δορκάδος νεβροί, κόρη, ἐδείχθησαν

ΓΕΝΝΑΔΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὡραῖοι καὶ ἡ κοιλία σου Θεὸν χωρήσασα, ὥσπερ θημωνία σίτου καθωράθη, ἐν κρίνοις πεφραγμένοις.

**Ὠδὴ Θ'. Κυρέως Θεοτόκον.**

Συνήφθης σὺν παρθένων, νῦν χοροστασίαις, καὶ ἐκλεκτῶν ὁμηγύρει Βαρβάρα σεμνή, ὑπὲρ ἡμῶν δυσωποῦσα τῶν εὐφημούντων σε.

Ἀρρήτου εὐφροσύνης, καὶ Θεοῦ τῆς δόξης, ἐπιτυχοῦσα Βαρβάρα πολύαθλε, τῶν μεμνημένων σου πίστει ἡμῶν μνημόνευε.

**Δόξα.**

Σωμάτων ἀλγηδόνας καὶ ψυχῶν τὰς νόσους, ἀπὸ τῶν δούλων σου μάρτυς ἀπέλασον, τῶν προστρεχόντων ἐν πίστει τῷ θείῳ οἴκῳ σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι, καὶ ἐξωτέρου με σκότους, ῥῦσαι πρεσβείαις σου.

**Καὶ εὐθὺς, τὸ ἄξιον ἐστὶν ὡς ἀληθῶς, καὶ τὰ παρόντα μεγαλυνάρια τῆς ἁγίας.**

Τὴν λαμπάδα πάντες τὴν φαεινήν, καὶ τῆς παρθενίας τὸν ἀσύλλητον θησαυρόν, τὴν νύμφην Κυρίου καὶ ἄσπιλον ἀμνάδα, Βαρβάραν τὴν ἁγίαν πάντες τιμήσωμεν.

Βρύει ἰαμάτων ὁ σὸς ναός, ἔνδοξε Βαρβάρα, ἀεννάως θείαν πηγήν, καὶ ἀποδιώκει λοιμώδη πᾶσαν νόσον, τῶν πόθῳ προστρεχόντων καὶ εὐφημούντων σε.

Τὴν παρθενομάρτυρα τοῦ Χριστοῦ, ἐν ὕμνοις τιμῶντες, εὐφημήσωμεν οἱ πιστοὶ τὴν ἄσπιλον νύμφην, Χριστοῦ τοῦ Βασιλέως, Βαρβάραν τὴν ἁγίαν ἐν θείοις ᾄσμασι.



Δεῦτε τῆς Ἰθάκης οἱ οἰκισταί, μέλψωμεν ἐν ὕμνοις τὴν Βαρβάραν τὴν θαυμαστὴν τὴν ἡμῶν προστάτιν παρέχουσαν ἰάσεις, τοῖς πόθῳ τῷ τεμένει αὐτῆς προστρέχουσιν.

Εἰ ὃς ἐνομίζετο σὸς πατήρ, σὲ χερσὶν ἀνεῖλεν, ὁ ἀντίθεος μιαραῖς, ὃν πατέρα ἔσχες, ἀληθινὸν Χριστόν σου, ἔχεις καὶ νῦν ἐν πόλῳ, Βαρβάρα ἔνδοξε.

Τῆς ψυχῆς ἐδήλου τὴν καλλονὴν σώματος τὸ κάλλος, παρθενίᾳ δέ σου λαμπρά, ἡρμόσθη νυμφίῳ, τῷ ἀθανάτῳ μάρτυς, Βαρβάρα ἀθληφόρε, ὅθεν τιμῶμέν σε.

Πάντες οἱ ἐν νόσοις παντοδαπαῖς, καὶ κινδύνοις ἄλλοις συνεχόμενοι τῷ ναῷ, τῆς σεμνῆς Βαρβάρας, προσδράμωμεν σὺν πόθῳ καὶ λύσιν τούτων πάντων ἀποληψόμεθα.

Δέχου τὰς αἰτήσεις, παμβασιλεῦ, τῆς καλλιπαρθένου, νῦν Βαρβάρας τῆς εὐκλεοῦς, καὶ τὴν νῆσον ταύτην ἀπήμονα συντήρει, ἐχθίστων πάσης βλάβης, ὅπως δοξάζῃ σε.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

**Εἶτα, τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σου ἐστίν. Καὶ τὰ τροπάρια ταῦτα. Ἦχος πλ. β'.**

Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν. Ἐλέησον ἡμᾶς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

### Καὶ νῦν, Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ Σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

**Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεός, κ. τ. λ.**

**Καὶ μνημονεύσας πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται, ποιεῖ τὴν ἀπόλυσιν.**

**Μετ' αὐτὴν δέ, ἐν ὅσῳ οἱ ἀδελφοὶ ἀσπάζονται τὴν εἰκόνα τῆς Ἁγίας ψάλλονται τὰ παρόντα προσόμοια.**

**ἦχος, β. Πάντων προστατεύεις ἀγαθή.**

Πάντες οἱ ἐκ νόσων χαλεπῶν, καὶ κινδύνων ἄλλων, δεινῶς θλιβόμενοι νῦν, ἔνθα τὰ ἰάματα, τῆς ἀθληφόρου Χριστοῦ, νῦν Βαρβάρας ἐκβλύζουσιν, ὡς ρεῖθρα Νειλῷα, σπεύδοντες προφθάσωμεν γονυκλιτῶς ἐν κλαυθμῷ, ρῦσαι ἐκβοῶντες σοὺς δούλους, ὦ Βαρβάρα νόσων παντοίων, καὶ παντοίων θλίψεων πανεύφημε.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

### Καὶ γίνεται ἀπόλυσις.

ΘΕΟΣ ΑΠΑΝΤΩΝ ΤΩΝ ΚΑΛΩΝ, ΑΡΧΗ ΕΣΤΙ ΚΑΙ ΤΕΛΟΣ.





# ΒΙΟΣ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΑΘΛΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΒΑΡΒΑΡΑΣ

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ

ΠΑΡΑ ΑΓΑΠΙΟΥ ΜΟΝΑΧΟΥ

(*Τοῦ Κρητὸς*)

Τὸν καιρὸν τοῦ ἀσεβεστάτου Βασιλέως Μαξιμιανοῦ, ἦτον ἕνας τοπάρχης εἰς μίαν χώραν τῆς Ἀνατολῆς, ἥτις ὀνομάζεται Ἡλιούπολις καὶ τὸν ἔλεγον Διόσκορον, ὁ ὁποῖος ἦτον περίσσα

πλούσιος, καὶ ἐκατῴκει μακρὰν ἀπὸ τὴν χώραν στάδια δώδεκα, εἰς ἕνα χωρίον λεγόμενον Γελάσιον. Εἶχε δὲ μίαν θυγατέρα μονογενῆ ὡραίαν εἰς τὸ κάλλος καὶ περίσσα εὔμορφον, ἥτις εἰς μὲν τὴν κλῆσιν ὠνομάζετο Βαρβάρα, εἰς δὲ τὴν πρᾶξιν καὶ εὐταξίαν ἦτον εὐγενὴς καὶ θαυμάσιος τόσον, ὁποῦ οἱ γονεῖς της εἶχανε πολλὴν εὐφροσύνην, βλέποντες εἰς αὐτὴν τοσαῦτα εὔχρηστα ἤθη καὶ εὐγενέστατα, διὰ δὲ τὴν πολλὴν αὐτῆς ὡραιότητα, τῆς ἔκτισαν ἕνα ὑψηλὸν πύργον πλουσιοπάροχα, καὶ τὴν ἔκλεισαν ἔνθοδεν, διὰ νὰ μὴ τὴν βλέπουν οἱ ἄνθρωποι, καὶ τῆς ἔδωσαν εἴ τι ἔκαμε χρεία ἀφθόνως διὰ πᾶσαν ὑπηρεσίαν καὶ ἀνάγκην τοῦ σώματος, γυναῖκας, τροφάς, ἐνδύματα, καὶ ἕτερα ὅμοια. Ὅταν οὖν ἔφθασεν ἡ κόρη εἰς ἡλικίαν νόμιμον, ἀκούοντες οἱ πρώτιστοι τῶν ἀρχόντων καὶ μεγιστάνων τὴν καλήν της φήμην καὶ περιβόητον ὄνομα, τὴν ἐζήτησαν τοῦ πατρὸς αὐτῆς νὰ συμπεθερεύσουν, ὅστις δὲν ἠθέλησε νὰ δώσῃ τὸν λόγον του τινός, ἐὰν δὲν εἶναι μὲ τὴν βουλὴν τῆς κόρης τὸ συνοικέσιον. Ἀναβὰς οὖν εἰς τὸν πύργον ἠρώτησεν αὐτήν, ἐὰν ἤθελε νὰ τὴν ὑπανδρεύσῃ. Ἡ δὲ κᾂν νὰ τελειώσῃ τὸν λόγον του δὲν ὑπόμεινεν, ἀλλὰ εἶπεν αὐτῷ μὲ ὀργὴν καὶ μάνητα, Μή μου ἀναφέρῃς πλέον τοιοῦτον λόγον, ὅτι κάμνεις με νὰ θανατωθῶ μοναχή μου, νὰ χάσῃς τὸ τέκνον σου. Ὁ δὲ ταῦτα ἀκούσας, δὲν τὴν ἐβίασε κρίνοντας εἰς τὸν νοῦν του, ὅτι δὲν τὸ ἔκαμνε δι᾿ ἀπείθειαν καὶ τοῦ ἐναντιεῖτο, ἀλλὰ διὰ τὸν πόθον τῆς παρθενίας. Ἐκατέβη γοῦν ἀπὸ τὸν πύργον, χωρὶς νὰ τῆς εἰπῇ κανένα λόγον σκληρόν, ἐλπίζοντας, ὅτι μὲ τὸν καιρὸν θέλει τὴν καταπείσει μὲ κολακείαις νὰ στέρξῃ τὸ συνοικέσιον. Ἐκείνας τὰς ἡμέρας εἶχε μαστόρους ὁ Διόσκορος, καὶ τοῦ ἔκτιζαν ἕνα λουτρὸν ὡραιότατον ἔξωθεν τοῦ πύργου καὶ δίδοντας τῶν μαστόρων τὸ σχῆμα καὶ τύπον τοῦ λουτροῦ πῶς νὰ τὸ κάμουν, ἀπῆλθεν εἰς ἄλλην χώραν δι᾿ ἀναγκαίαν ὑπόθεσιν, καὶ τοὺς ἐπαρήγγειλε νὰ βάλλουν εἰς αὐτὸ πολλὴν ἐπιμέλειαν νὰ γένῃ εὔμορφον, καὶ ἀφοῦ ἐπιστρέψῃ νὰ τοὺς δώσῃ τὸν κόπον τους. Ἐπειδὴ δὲ ἔλειψεν ὁ Διόσκορος ἡμέρας πολλάς, ἐκατέβη ἡ Κόρη νὰ ἰδῇ τὸ λουτρόν. Καὶ βλέπουσα, ὅτι εἶχανε καμωμένα μόνον δύο παράθυρα, τοὺς ἠρώτησε, διατὶ δὲν ἔκαμαν ἄλλο ἕνα πρὸς τὸ νότιον μέρος, νὰ φωτίζεται τὸ λουτρὸν καλλιώτερα; Οἱ δὲ



ἀπεκρίθησαν, ὅτι οὕτως ἐπρόσταξεν ὁ πατήρ σου· λέγειτους ἡ Κόρη· Κάμετε χωρὶς ἄλλο καὶ τὸ τρίτον παράθυρον, καὶ ἐγὼ νὰ ἀποκριθῶ τοῦ πατρός μου, νὰ μὴ σκανδαλισθῇ μὲ τοῦ λόγου σας. Ἔκαμαν οὖν οἱ κτίσται τὸν λόγον της. Ἡ ὁποία ἐκατέβαινε πολλάκις, καὶ ἐσεργιάνιζε τὴν οἰκοδομὴν καὶ βλέπουσα τὰς τρεῖς θυρίδας ἐχαίρετο. Ὁ δὲ πανάγαθος καὶ ἐλεήμων Θεός, ὁ γινώσκων πρὸ τοῦ γενέσθαι τὰ πάντα, ἰδὼν αὐτῆς τὴν ἀγαθὴν καὶ σώφρονα γνώμην, ἐφώτισε τὴν ψυχήν της θαυμάσια καὶ ἐμπλησθεῖσα Ἁγίου Πνεύματος, καὶ παρρησίας πρὸς τὸν Χριστόν, ἐσταμάτησεν εἰς τὴν κολυμβήθραν τοῦ λουτροῦ κατὰ Ἀνατολὰς βλέπουσα καὶ ἐχάραξε μὲ τὸν δάκτυλόν της τὸν τύπον τοῦ Θείου Σταυροῦ εἰς τὰ μάρμαρα καὶ ὢ τοῦ θαύματος, ὥσπερ νὰ ἦτον ὁ δάκτυλος σίδηρος, ἐγίνη λάκκος βαθὺς εἰς τὸ μάρμαρον, καὶ φαίνεται ὁ Σταυρὸς ἕως σήμερον διὰ νὰ κηρύττεται ἡ θαυματουργία καὶ δύναμις τοῦ Κυρίου πάντοτε· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ αὐτὸ τὸ λουτρὸν ἕως τὴν σήμερον σώζεται, καὶ κάμνει διάφορα θαύματα καὶ θεραπεύει ὅσους ἔχουν τινὰ ἀσθένειαν, ὅταν προσέλθωσι μετὰ πίστεως, τὸ ὁποῖον ὅστις τὸ ὀνομάσει Ἰορδάνιον ρεῖθρον, ἢ πηγὴν Σιλωάμ, ἢ καὶ προβατικὴν κολυμβήθραν, δὲν ἁμαρτάνει, ἐπειδὴ ἡ δύναμις τοῦ Θεοῦ ἐτέλεσε καὶ εἰς ἐτοῦτο πολλὰ καὶ παράδοξα θαύματα. Ἐν μιᾷ τῶν ἡμερῶν καθὼς ἤρχετο ἀπὸ τὸ λουτρὸν ἡ Βαρβάρα, ἐκύταξε τὰ εἴδωλα, ὅπου ἐπροσκύνα ὁ πατήρ της καὶ στενάξασα ἐκ βάθους ψυχῆς, διὰ τὴν ἀναισθησίαν αὐτοῦ καὶ τυφλότητα, ἔπτυσεν εἰς τὸ πρόσωπον αὐτῶν, λέγουσα· Ὅμοιοί σας νὰ γένουν ὅσοι σᾶς προσκυνοῦν καὶ καλοῦσί σας εἰς βοήθειαν. Ταῦτα εἰποῦσα, εἰσῆλθεν εἰς τὸν πύργον, καὶ ἔμεινε σχολάζουσα εἰς νηστείαις καὶ προσευχαῖς, καὶ ἐκδεχομένη τὴν ἐξ ὕψους βοήθειαν. Εἰς ὀλίγας ἡμέρας ἐλθὼν ὁ Διόσκορος, καὶ ἰδὼν τὴν τρίτην θυρίδα ἐσκανδαλίσθηκε, πῶς τὴν ἔκαμαν χωρὶς τοῦ ἐκείνου προστάγματος. Οἱ δὲ εἶπον αὐτῷ τὴν ἀλήθειαν· ὅθεν ἠρώτησε περὶ τούτου τὴν Κόρην, ἥτις εἶπεν αὐτῷ· Ἐγὼ πάτερ ἐπρόσταξα, καὶ τὴν ἔκτισαν, ὅτι καλλίτερα εἶναι μὲ τὰ τρία παράθυρα, παρὰ μὲ τὰ δύο. Ὁ δὲ ὀργισθείς, εἶπεν αὐτῇ· εἰπέ μοι τὴν αἰτίαν καὶ τὸν τρόπον διατὶ σοῦ φαίνεται οὕτω καλλίτερα; λέγει του ἡ Κόρη· αἱ τρεῖς θυρίδες φωτί-

ζουσι πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον. Τοῦτο δὲ
εἶπε δηλοῦσα τὴν τῆς Ἁγίας Τριάδος μεγαλειότητα. Ὁ δὲ
θυμωθεὶς ἥρπασεν αὐτήν, καὶ ἀπελθόντες εἰς τὸ λουτρὸν τῆς
εἶπε· Πῶς γίνεται τὸ φῶς τῶν τριῶν θυρίδων φωτιστικὸν παν-
τὸς ἀνθρώπου; Ἡ δὲ ἀπεκρίνατο· Πρόσεχε πάτερ, νὰ κατα-
λάβῃς τὸ αἴτιον: Οὕτως εἰποῦσα ἔκαμε τὸ σημεῖον τοῦ Τι-
μίου Σταυροῦ, καὶ δείχνει του τὰ τρία της δάκτυλα, λέγουσα·
Πατήρ, Υἱός, καὶ Ἅγιον Πνεῦμα. Μὲ τὸ φῶς αὐτὸ ὅλη ἡ
κτίσις νοερῶς καταλάμπεται. Τοῦτον τὸν ἀληθῆ λόγον δὲν ἐδυ-
νήθη νὰ ὑπομείνῃ ἡ φαύλη ἀκοὴ καὶ εἰς τὸ ψεῦδος γεγυμνα-
σμένη, ὅθεν ἐπληρώθη ὀργῆς ἀπείρου ὁ ἀσεβέστατος, ἀστό-
χησε τοὺς νόμους τῆς φύσεως, ἀλησμόνησε τὰ πατρῷα σπλάγ-
χνα δὲν ἐνθυμήθη πῶς ἦτον τέκνον καὶ σάρκα του, ἀλλὰ ἐ-
βουλήθη ὁ γενήτωρ νὰ γένῃ φονεὺς καὶ δήμιος. Εὔγαλε τὸ
ξίφος ὅπου ἐβάστα καὶ ὥρμησε νὰ τὴν θανατώσῃ. Ἡ δὲ ἔφυ-
γεν εἰς ἕνα ὄρος ἐκεῖ πλησίον, καὶ ἄρασα πρὸς οὐρανὸν τὰς
χεῖρας, τοὺς ὀφθαλμούς, καὶ διάνοιαν, ἐπεκαλεῖτο τὸν Θεὸν εἰς
βοήθειαν. Ὅστις δὲν ἀμέλησε ποσῶς. Ἀλλὰ καθὼς ἔσωσε τὴν
πρωτομάρτυρα Θέκλαν, μὲ τὸ νὰ σχισθῇ ἡ πέτρα, νὰ τὴν
δεχθῇ, οὕτω καὶ τὴν ἀοίδιμον ταύτην Βαρβάραν ἐφύλαξε μὲ
ὅμοιον θαυματούργημα. Ὅτι καθὼς ἔτρεχεν ὁ δήμιος ἐκεῖνος
καὶ ὄχι πατὴρ καταπάνω της, ἐσχίσθη μία πέτρα μὲ θεῖον νεῦμα
καὶ βούλησιν, καὶ τὴν ἐδέχθηκεν ἔσω της εἰς τὰ ὀρεινότερα
μέρη. Ἀλλὰ πάλιν ἐκεῖνος ὁ λίθινος, ἢ μᾶλλον εἰπεῖν καὶ τῶν
λίθων ἀναισθητότερος, δὲν ἀφῆκε τὴν ὁρμήν, βλέπωντας τοιοῦ-
τον θαυμάσιον· ἀλλὰ ὡς τέκνον τοῦ ἀνθρωποκτόνου δαίμονος
ἔτρεχε κατόπιν, ἵνα θύσῃ καὶ ἀπολέσῃ. Εὑρὼν δὲ δύο ὁποῦ
ἔβοσκαν ἐκεῖ πλησίον τὰ πρόβατα, τοὺς ἠρώτησεν, ἐὰν ἤξευ-
ραν, ποῦ ἦτον κρυμένη ἡ θυγατέρα του; Ὁ ἕνας ἀπὸ τούτους
ἦτον συμπαθὴς καὶ καλόγνωμος, καὶ κρίνοντας ἄδικον νὰ προ-
δώσῃ τὴν διωκομένην, ἀρνήθη, καὶ εἶπε, πῶς δὲν τὴν εἶδε
ποσῶς, καὶ ἐπροτίμησεν ὡς γνωστικὸς νὰ εἰπῇ ψεῦδος Σωτή-
ριον, πάρεξ ἀλήθειαν βλάπτουσαν. Ἂς καταισχυνθῇ Ἡρώδης
ὁ ἀφρονέστατος, ὅστις ἐτέλεσε τοιοῦτον φόνον ἄδικον, διὰ νὰ
μὴν εὐορκήσῃ ὁ ἄνομος. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλ-
θωμεν. Ὁ ἄλλος βοσκὸς ὡς πονηρὸς καὶ ἀπάνθρωπος μὲ τὴν



γλῶσσαν μὲν δὲν ἐσύντυχεν, ἀλλὰ μὲ τὸν δάκτυλον ἔδειξε τὴν
ὁδὸν τῷ Διοσκόρῳ, νὰ εὕρῃ τὴν μάρτυρα. Ὅθεν ἡ θεία δίκη
ἐπέδευσεν εὐθὺς τὸ κακούργημα, καὶ ἔγιναν ὅλα του τὰ πρό-
βατα σκάνθαροι, καὶ οὕτως ἔμειναν ἕως τέλους, καὶ ἐπερικυ-
κλοῦσαν τῆς ἁγίας τὸν τάφον εἰς κατηγορίαν τοῦ κακοτρόπου
ἐκείνου καὶ ἄφρονος. Εὑρὼν οὖν τὴν Ἁγίαν ὁ Διόσκορος εἰς τὸ
ὄρος, ἔδειρεν αὐτὴν ἰσχυρῶς, καὶ ἁρπάσας ἐκ τῶν πλοκάμων,
τὴν ἔσυρε βιαίως ἕως τὸν οἶκόν του. Καὶ τότε μὲν τὴν ἔκλει-
σεν εἰς ἕνα μικρὸν οἰκίδιον καὶ σφραγίσας τὴν θύραν, ἔβαλε
φύλακας νὰ τὴν βλέπουσιν, ἔπειτα ὑπῆγεν εἰς τὸν ἡγεμόνα
Μαρκιανόν, ὅστις ἐξουσίαζε τότε τὴν χώραν, καὶ λέγει του περὶ
τῆς θυγατρός του τὴν ὑπόθεσιν· ὅτι τοὺς μὲν Θεοὺς αὐτῶν κα-
ταφρονᾷ καὶ βδελύσσεται, τὸν δὲ Ἐσταυρωμένον τιμᾷ, καὶ ἐκ
ψυχῆς ὅλης σέβεται. Ταῦτα εἰπὼν, ἔφερε τὴν κόρην, καὶ
παρέδωκεν αὐτὴν εἰς τὰς χεῖράς του, ὁρκίζοντάς τον, ὅτι νὰ
μὴ τὴν λυπηθῇ παντελῶς διὰ τοὺς θεούς των, ἀλλὰ νὰ
τὴν βασανίσῃ μὲ βίαια καὶ χαλεπὰ κολαστήρια. Καθίσας οὖν ὁ
Μαρκιανὸς εἰς τὸ δικαστήριον, ἐπρόσταξε νὰ φέρουν τὴν μάρ-
τυρα, καὶ βλέπωντας τοῦ ἤθους τὸ κόσμιον, καὶ τὴν τῆς μορ-
φῆς ὡραιότητα, ἀστόχησε τοὺς ὅρκους τοῦ Διοσκόρου, καὶ ἔκ-
θαμβος γενόμενος, εἶπεν αὐτῇ μὲ σπλάγχνος πολὺ καὶ πραό-
τητα. Λυπήσου τοῦ λόγου σου, Βαρβάρα, κάμε θυσίαν εἰς τοὺς
θεούς· ὅτι λυποῦμαι νὰ ἀφανίσω τοσοῦτον κάλλος καὶ ὡραιό-
τητα, εἰμὴ ἐὰν ἀπειθήσῃς μοι, ἀνάγκη εἶναι νὰ σὲ θανατώσω
ἀνελεήμονα. Ἡ δέ Μάρτυς ἀπεκρίνατο· Ἐγὼ προσφέρω τῷ
Θεῷ μου θυσίαν αἰνέσεως. Ὅστις ἔκτισε τὸν Οὐρανὸν καὶ τὴν
γῆν, καὶ τὰ ἐπίλοιπα ἅπαντα· ἀμὴ οἱ θεοί σου εἶναι ἀργύριον
καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, καὶ τῶν ἐθνῶν δαιμόνια.
Ταῦτα ἀκούσας ὁ δικαστής, ἐθυμώθη καὶ προστάσει, νὰ τὴν
ἐκδύσουσι, νὰ τὴν δέρνουν ἀνηλεῶς μὲ ὠμὰ βούνευρα, ἔπειτα
νὰ τρίβουσι τὰς πληγάς της μὲ ῥάσα τρίχινα, διὰ νὰ τῆς δώσῃ
δριμυτέραν τὴν κόλασιν. Οὕτως οὖν ἀπανθρώπως μαστιζομένης
τῆς Ἁγίας, τὸ μὲν σῶμα αὐτῆς ἐπληρώθη πληγῶν καὶ τραυ-
μάτων, τὸ δὲ τῆς γῆς ἔδαφος ἐκοκκίνησεν ὅλον ἀπὸ τὸ ἄσπι-
λον αἷμά της. Καὶ ἀφόντις τὴν ἐβασάνισαν ὥραν πολλήν, τὴν
ἔβαλαν εἰς τὴν φυλακὴν ἕως δευτέραν ἐξέτασιν. Ἐν τῷ μέσῳ

δὲ τῆς νυκτὸς φῶς μέγα καὶ φαιδρὸν ἦλθεν εἰς τὴν Ἁγίαν, καὶ ἔλαμπεν ὅλον τὸ δεσμωτήριον. Ἄνωθεν δὲ τοῦ φωτὸς ἐφάνη ὁ Δεσπότης Χριστὸς καὶ τῆς ἔδωκε θάῤῥος, παραγγεῖλας αὐτῇ νὰ μὴ φοβᾶται ποσῶς, ἢ δειλιάσῃ τὰς κακουργίας τῶν ἀνθρώπων καὶ παιδευτήρια, καὶ λέγει της· Ἐγὼ εἶμαι μετ' ἐσένα, νὰ σὲ διαφυλάττω ὑπὸ τὴν σκιὰν τῶν πτερύγων μου. Τοιαῦτα τοῦ Δεσπότου πρὸς αὐτὴν λέγοντος, εὐθὺς ἡ πληγαῖς ἠφανίσθησαν, καὶ εὑρέθη ὑγιὴς εἰς ὅλον τὸ σῶμά της. Ὅθεν ἔμεινεν εἰς πολλὴν εὐφροσύνην καὶ ἀγαλλίασιν. Γυνὴ δέ τις θεοσεβὴς καὶ ἐνάρετος, Ἰουλιανὴ ὀνόματι, ἦτον ἀντάμα μὲ τὴν Ἁγίαν, καὶ βλέπουσα τὴν παράδοξον ταύτην θαυματουργίαν, ἐδόξασε τὸν Θεόν, καὶ ἔχουσα μίαν γνώμην καὶ φρόνημα μὲ τὴν μάρτυρα, ἔκρινεν εἰς τὴν διάνοιαν αὐτῆς νὰ ὑπομείνῃ πᾶσαν πληγὴν καὶ μάστιγα διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Ὁ δὲ ἡγεμὼν καθίσας εἰς δευτέραν ἐξάτασιν, ἔφεραν τὴν Ἁγίαν, καὶ βλέποντες οἱ περιεστῶτες τοιοῦτον ἐξαίσιον θέαμα νὰ μὴν ἔχει ποσῶς παραμικρὰν πληγήν, ἢ μώλωπα εἰς τὴν σάρκα της, ἐξέστησαν ἅπαντες. Ὁ δὲ δικαστὴς τυφλώττων εἰς τὴν ἀλήθειαν, ἀρνούμενος τὴν μεγάλην τοῦ Θεοῦ δύναμιν ὁ ἀσύνετος, ἐνόμιζεν, ὅτι οἱ ἀνίσχυροι θεοί του ἐνήργησαν τοιοῦτο θαυμάσιον καὶ ἔλεγε πρὸς τὴν μάρτυρα· Βλέπεις πῶς σοῦ βοηθοῦν οἱ Θεοί, Βαρβάρα καὶ ἐθεράπευσαν τὰς πληγάς σου; Ἡ δὲ ἀπεκρίνατο· ἐκεῖνοι, ὁποῦ εἶναι τυφλοὶ ὡσὰν καὶ ἐσένα, πῶς ἐδυνήθησαν νὰ κάμουν τοιαύτην πρᾶξιν, ὁποῦ αὐτοὶ μᾶλλον χρειάζονται ἀνθρωπίνην βοήθειαν; ἐὰν θέλῃς νὰ μάθῃς τίς μὲ ἰάτρευσεν, ὁ Χριστὸς εἶναι ὁ ἀληθὴς υἱὸς τοῦ ζῶντος Θεοῦ, τὸν ὁποῖον δὲν δύνασαι νὰ ἰδῇς, διότι εἶναι ἐσκοτισμένοι οἱ ὀφθαλμοί σοι ἀπὸ τὸ βάθος τῆς ἀσεβείας. Ἀπὸ τοὺς τοιούτους λόγους ὁ ἡγεμὼν θυμωθείς, ἐκέλευσε νὰ καταξεσχίζουσι τὰς πλευράς της μὲ σιδηροὺς ὄνυχας καὶ μὲ λαμπάδας πυρὸς νὰ καίγουσι τὰ ξεσχισμένα μέλη, καὶ μὲ σφύραν νὰ κτυποῦσιν εἰς τὴν Ἁγίαν της κεφαλήν. Ταῦτα δὲ ποιήσαντες οἱ ὑπηρέται, ἵστατο ἡ θεοσεβὴς Ἰουλιανή, καὶ ἐπειδὴ δὲν ἠδύνατο νὰ τὴν βοηθήσῃ κἂν, μὲ τὴν ψυχὴν καὶ καρδίαν ἐσυμπόνει συμπάσχουσα εἰς τὰς ὀδύνας αὐτῆς· καὶ μὴ δυναμένη νὰ κρύπτῃ τὸν πόνον εἰς τὰ ἐντόσθια, βλέπουσα τὰ αἵματα, ὁποῦ ἔτρεχαν



ἀπὸ τὴν κεφαλὴν καὶ τὸ σῶμα τῆς μάρτυρος, ἔκλαιε καὶ αὐτὴ ἀκατάπαυστα. Ὁ δὲ ἡγεμὼν ἰδὼν αὐτὴν κλαίουσαν, καὶ ἐρωτήσας τίς ἔστι, καὶ μαθὼν ὅτι χριστιανὴ εἶναι, καὶ διὰ τὴν πρὸς τὴν Βαρβάραν συμπάθειαν ἔκλαιε, προστάσει νὰ κρεμάσουσι καὶ αὐτὴν πλησίον τῆς Ἁγίας, νὰ ξεσχίζουν τὰς σάρκας της, καὶ μὲ λαμπάδας πυρὸς νὰ τὴν καταφλέγουσιν. Ἡ ὁποία βασανιζομένη δεινῶς κατὰ τὴν πρόσταξιν τοῦ ἄρχοντος, καὶ ὀδυνομένη, ἐκύταξεν εἰς τὸν οὐρανόν, καὶ εἶπε· Δέσποτα Χριστὲ Βασιλεῦ, καρδιογνῶστα καὶ παντοδύναμε, γινώσκεις ὅτι διὰ τὴν ἀγάπην σου ταῦτα πάσχω. Λοιπὸν μὴ ἐγκαταλίπεις με, μήτε ἀφήσεις νὰ μὲ νικήσῃ ὁ λυμεὼν οὗτος, νὰ καυχηθῇ εἰς ἐμέ· ἀλλὰ ἀξίωσόν με νὰ ὑπομείνω ἕως τέλους, νὰ λάβω τὸν στέφανον τῆς ἀθλήσεως. Ταῦτα τῆς Ἰουλιανῆς εὐχομένης, ἐκέλευσεν ὁ ἄνομος νὰ κόψουσι τὰ βυζὰ καὶ τῶν δύο. Ἡ δὲ Ἁγία Βαρβάρα ἔψαλλεν, ὅταν τὰ ἔκοπταν, λέγουσα· Κύριε μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀφ' ἡμῶν· ἀπόδος ἡμῖν τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ στήριξον ἡμᾶς εἰς τὸν φόβον σου. Ἀφοῦ γοῦν ὑπέμειναν καὶ αὐτὴν τὴν δριμυτάτην βάσανον, ἐπρόσταξεν ὁ ἄρχων τὴν μὲν Ἰουλιανὴν νὰ φυλακώσουν, τὴν δὲ Βαρβάραν νὰ ξεγυμνώσωσιν νὰ τὴν γυρίσουν εἰς ὅλον τὸ Κάστρον, καὶ νὰ τὴν δέρνουσι συγχρόνως. Ἡ δὲ μάρτυς θεατριζομένη μὲ τοσαύτην ἀσχημοσύνην ὁλόγυμνη καὶ μαστιζομένη, δὲν ἐλογίζετο ποσῶς διὰ θλίψιν τὴν βάσανον, ἀλλὰ πρὸς οὐρανὸν ἀτενίσασα, εἶπε ταῦτα· Δέσποτα Κύριε, ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, καὶ τὴν γῆν σπαργανῶν ὁμίχλῃ, αὐτὸς καὶ τὴν ἐμὴν γύμνωσιν σκέπασον Βασιλεῦ, καὶ μὴν ἀφήσῃς νὰ θεωροῦσιν οἱ ἀσεβεῖς τὰ μέλη μου, διὰ νὰ μὴ γένω μυκτηρισμὸς αὐτῶν, χλευασμός τε καὶ περιγέλασμα. Ἤκουσεν ἐκ Ναοῦ Ἁγίου αὐτοῦ ὁ ταχὺς Θεὸς εἰς ἀντίληψιν· καὶ παρευθὺς ἐφάνηκεν ἔμπροσθεν αὐτῆς καθήμενος ἐπὶ χερουβικοῦ ἅρματος· καὶ τὴν μὲν καρδίαν αὐτῆς ἐπλήρωσεν εὐφροσύνην καὶ ἀγαλλίασιν μὲ τὴν παρουσίαν αὐτοῦ τὴν θείαν καὶ πανευφρόσυνον· τὸ δὲ ἅγιον σῶμα ἐκέλευσε τοῖς Ἀγγέλοις, καὶ ἐνέδυσαν στολὴν λαμπροτάτην καὶ ἔνδοξον οὐ μόνον δέ, ἀλλὰ καὶ τὰς πληγὰς αὐτῆς ἐθεράπευσεν ὡς καὶ πρότερον. Οἱ

δὲ ὑπηρέται παρέστησαν ταύτην τῷ ἄρχοντι, ὅστις ἰδὼν αὐ-
τὴν οὕτως ἐνδεδυμένην, αἰσχύνθηκεν. Ὅθεν μὴ δυνάμενος νὰ
τὴν νικήσῃ, οὔτε μὲ ἀπειλαῖς καὶ κολαστήρια, οὔτε μὲ ἀγα-
θῶν ἐπαγγελίας καὶ τασσίματα, ἔδωκε κατ᾽ αὐτῶν τὴν ἀπό-
φασιν νὰ κόψουν τὰς κεφαλάς των μετὰ τῆς ὁμόφρονος Ἰου-
λιανῆς. Εἰς ὅλα δὲ ταῦτα τὰ κολαστήρια ἦτον παρὼν ὁ παι-
δοκτόνος πατὴρ αὐτῆς, καὶ τὰ ἔβλεπεν ὁ ἄσπλαγχνος, καὶ δὲν
ἐπόνεσεν ὁ ἀσεβὴς καὶ παμμίαρος, οὔτε ποσῶς ἐλυπήθη τὴν
σάρκα του, οὔτε ἐχόρτασεν εἰς τόσας παιδεύσεις καὶ ξεσχισμούς,
ὁποῦ ἔπαθεν, ἀλλὰ καὶ ἀσθένειαν ἔκρινε καὶ μαλακίαν ψυχῆς,
καὶ ἐντροπήν του μεγάλην καὶ καταφρόνησιν, ἐὰν ἀφήσῃ νὰ
τὴν φονεύσῃ ἄλλος τινάς. Ὅθεν εὐθὺς ὁποῦ ἔδωσε κατ᾽ αὐτῆς
ὁ δικαστὴς τὴν ἀπόφασιν, ἅρπασε τὴν ἁγίαν ὡς θηρίον ἀνή-
μερον, νὰ τὴν φονεύσῃ μὲ τὰς χεῖρας αὐτοῦ ὁ τρισάθλιος.
Ἐπῆρέ την οὖν, καὶ ἔτρεχεν εἰς τὸ ῥηθὲν ὄρος, καὶ ὁ δήμιος
ἔσυρνε τὴν Ἰουλιανήν, καὶ ἐπήγεναν ἀμφότεραι εἰς τὸν θάνα-
τον, μὲ τόσην χαράν, ὡσὰν νὰ ταῖς εἶχασι προσκαλεσμέναις
εἰς γάμους καὶ εἰς ἀπόλαυσιν πανευφρόσυνον. Ἡ δὲ Ἁγία
Βαρβάρα πάλιν προσηύξατο πρὸς Κύριον λέγουσα· Ἄναρχε
Θεέ, ὁποῦ ἔκτισες τὸν οὐρανὸν ὡς καμάραν, καὶ ἐθεμελίωσες
τὴν γῆν εἰς τὰ ὕδατα καὶ προστάζεις τὸν ἥλιον νὰ φωτίζῃ
τὸν κόσμον ὅλον καὶ τὰ νέφη νὰ βρέχουσι καὶ χαρίζεις τοσαῦτα
δωρήματα τοῖς δικαίοις καὶ ἁμαρτωλοῖς, καὶ εὐεργετεῖς κα-
λοὺς καὶ κακοὺς ὡς ἀνεξίκακος καὶ πανάγαθος, αὐτὸς καὶ νῦν,
Βασιλεῦ πλουσιόδωρε, ἐπάκουσόν μου τῆς δούλης σου δεομέ-
νης σου· Καὶ ὅποιος μνημονεύσῃ τὴν ἄθλησίν μου εἰς δόξαν
τοῦ σοῦ ὀνόματος, νὰ μὴν ἐγγίξῃ λοιμώδης νόσος, οὔτε θανα-
τικὸν εἰς τὸν οἶκον του, οὔτε ἄλλη ποσῶς ἀσθένεια λώβης νὰ
τοῦ δώσῃ λύπην καὶ κακοπάθειαν, ὅτι ἠξεύρεις Κύριέ μου, πῶς
εἴμεσθεν αἷμα καὶ σάρκα, τετιμημένοι μὲ τὴν εἰκόνα σου καὶ
ὁμοίωσιν. Ταῦτα λέγουσα ἡ Ἁγία, φωνὴ παραδόξως οὐρανό-
θεν ἠκούετο, προσκαλοῦσα αὐτήν τε καὶ τὴν Ἰουλιανὴν εἰς
ἐκείνην τὴν αἰώνιον καὶ ἀνεκλάλητον ἀγαλλίασιν, καὶ τῆς
ἔτασσε νὰ τελειώσῃ ὅσα ἐζήτησε. Ταύτην τὴν γλυκυτάτην
φωνὴν ἀκούσασα ἔτρεχεν ἀγαλλομένη, νὰ φθάσῃ εἰς τὸν τό-
πον τῆς τελειώσεως καὶ κλίνασα τὴν ἱερὰν κεφαλήν, ἐδέχθη



τὸ τέλος, καὶ τὴν ἐθανάτωσεν οἰκείαις χερσὶν ὁ Διόσκορος,
Καρπὸς ἀγαθὸς ἐκ πονηροῦ δένδρου παραδόξως ἀναφανεῖσα.
Τὴν δὲ Ἰουλιανὴν ἀπεκεφάλισεν ἄλλος δήμιος. Ὅταν δὲ ταῦτα
ἐγίνοντο, τότε καὶ ἡ Θεία δίκη τὸν ἀσεβῆ καὶ ἄδικον δικαίως
ἐπαίδευσεν τὴν ὑπερβολὴν τῆς κακίας του. Ὅτι καταβαίνων
ἀπὸ τὸ ὄρος, ἔπεσεν οὐρανόθεν κεραυνός, καὶ τὸν ἐκατάκαυσε.
Καὶ οὕτως οὐ μόνον τὴν παρούσης ζωῆς ὑστερήθη ὁ ἄθλιος,
ἀλλὰ καὶ τῆς αἰωνίου ὡς ἀμφοτέρων ἀνάξιος· καὶ δὲν ἔμεινεν
οὔτε κἂν χῶμα ἀπὸ τὴν σάρκα του. Ἔφθασε δὲ καὶ ἕως τὸν
ἡγεμόνα Μαρκιανὸν τὸ ὅρμημα τοῦ Θεηλάτου ἐτούτου πυρός·
προοίμιον ἀψευδὲς καὶ σύμβολον τοῦ ἀΰλου πυρὸς ἐκείνου, ὁ-
ποῦ μέλλει νὰ τὸν κολάζῃ αἰώνια. Ἀνὴρ δέ τις εὐσεβὴς καὶ
φιλόθεος, Οὐαλεντῖνος ὀνόματι, ἐπῆρε τῶν Μαρτύρων τὰ ἱερὰ
σώματα, καὶ τιμήσας αὐτὰ μὲ ψαλμῳδίας καὶ πνευματικὰ ᾄσμα-
τα, τὰ ὑπῆγεν εὐλαβῶς εἰς ἕνα χωρίον Γελασσὸν καλούμενον,
μακρὰν ἀπὸ τὰ Εὐχάϊτα μίλια δώδεκα· καὶ ἐκεῖ τὰ ἐνταφίασεν
ἱεροπρεπῶς εἰς νόσον ἴαμα, ψυχῶν ἀγαλλίαμα, καὶ φιλοθέων
ἀνδρῶν ἐντρύφημα πολυέραστον, εἰς δόξαν Χριστοῦ τοῦ ἀλη-
θινοῦ Θεοῦ ἡμῶν. Ὧ, πρέπει τιμή, κράτος, μεγαλωσύνη τε
καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν.